Ἱερόπολις Καστάβαλα, ἐπὶ τοῦ μέσου ἢ ἄνω μέρους τοῦ ποταμοῦ Πυράμου. Τὰ ἀρχαιότατα αὐτῆς νομίσματα χρονολογοῦνται ἀπὸ τῆς ἐποχῆς τῶν Σελευκιδῶν, μέχρι δὲ τοῦ τέλους τοῦ δευτέρου αἰῶνος π. Χ. φέρουσι τὰς ἐπιγραφὰς ΙΕΡΟΠΟΛΙΤΩΝ καὶ ΙΕΡΟΠΟΛΙΤΩΝ ΤΩΝ ΠΡΟC ΤΩΙ ΠΥΡΑΜΩΙ ΤΗΣ ΙΕΡΑΣ ΚΑΙ ΑΣΥΛΟΥ. *Τύποι* — κεφαλὴ Ἀπόλλωνος, *ὀπ.*, Ῥώμη καθημένη ἐπὶ ἀσπίδων· κεφαλὴ Τύχης πυργοστεφής, *ὀπ.*, ἀετός· θεὰ καθημένη ἐπὶ θρόνου μετ᾽ ἀετοῦ παρ᾽ αὐτήν· Ἄρτεμις φονεύουσα ἔλαφον, κτλ. Πρὸς τούτοις ὁ ποταμὸς Πύραμος ὡς μορφὴ κολυμβῶσα, μετὰ πτηνοῦ ὑδροχαροῦς νηχομένου παρ᾽ αὐτῷ ἢ καθημένου ἐπὶ τοῦ ἑτέρου τῶν βραχιόνων του. Ἐνίοτε φέρει λαμπάδα ἐν τῇ μιᾷ τῶν χειρῶν (πρβλ. *πῦρ*, *πυρφόρος* καὶ Πύραμος). Ἡ πόλις αὕτη ἦτο διάσημος ἕνεκα τοῦ ἐν αὐτῇ ἱεροῦ Ἀρτέμιδος τῆς Περασίας (Στράβ. XII, 637), ἔνθα ἐλέγετο τὰς ἱερείας γυμνοῖς τοῖς ποσὶ δι᾽ ἀνθρακιᾶς βαδίζειν ἀπαθεῖς. *Αὐτοκρατορικά* — ἀπὸ Μ. Αὐρηλίου μέχρις Οὐαλεριανοῦ. Πάντα δὲ τὰ μετὰ τὸν Σεπτ. Σεουῆρον φέρουσι τὴν ἐπιγραφήν, ΙΕΡΟΠΟΛΕΙΤΩΝ ΚΑCΤΑΒΑΛΕΩΝ. *Τύποι* — Πύραμος ποταμός, Ἥλιος, Διόνυσος, Ζεύς, Τύχη, κτλ. Πλείονας λεπτομερείας ἴδε παρὰ Imhoof, *Zeit. f. Num.*, X, 1883 καὶ *Mon. Gr.*, σ. 352).

Ἴσαυρα. Πόλις μεσόγειος περὶ τὰ εἴκοσι μίλια νοτιοανατολικῶς τῆς λίμνης Τρωγίτιδος.

Αὐτοκρατορικὰ νομίσματα Δόμνης, Καρακάλλα καὶ Γέτα. *Ἐπιγρ.*, ΜΗΤΡΟΠΟΛΕΩC ΙCΑΥΡΩΝ. *Τύποι* ποικίλοι, ἀλλ᾽ ἄνευ εἰδικοῦ τινος ἐνδιαφέροντος.

Ἰσσός. Ἡ πόλις αὕτη ἔκοψεν ἀργυροῦς στατῆρας Περσικοῦ κανόνος μετὰ διγλώσσων ἐπιγραφῶν.

Περσικὸς σταθμητικὸς κανών, περὶ τὰ 400 - 380 π. Χ.

ΙΣΣΙ Ἀπόλλων ἱστάμενος, κρατῶν φιάλην καὶ στηριζόμενος ἐπὶ δένδρου δάφνης· ὑπεράνω ἀβεβαία Ἀραμαϊκὴ ἐπιγραφή. (Imhoof, *Mon. Gr.*, Πίν. F. 21.)	Ἡρακλῆς ἱστάμενος γυμνός, κρατῶν ῥόπαλον, τόξον καὶ λεοντῆν . . . ℞ Στατὴρ 166 κ.

Χρόνοι τοῦ Τιριβάζου, περὶ τὰ 386 - 380 π. Χ.

ΙΣΣΙΚΟΝ Ζεὺς ἀετοφόρος ἱστάμενος πρὸς ἀρ. στηριζόμενος ἐπὶ σκήπτρου. Λείψανα Ἀραμαϊκῆς ἐπιγραφῆς. Imhoof, *Mon. Gr.*, σ. 354.)	תרביזו (Τιρίβαζος) γράμμασιν Ἀραμαϊκοῖς. Ἡμίσεια παράστασις τοῦ θεοῦ Ὁρμούσδα ἐξερχομένη ἐκ δίσκου πτερωτοῦ καὶ κρατοῦσα στέφανον καὶ ἄνθος. Ἐν τῷ πεδίῳ ὄνομα ἄρχοντος ΑΜΙ. ℞ Στατήρ.

Ὅμοιοι στατῆρες ἐκόπησαν ὑπὸ τοῦ Τιριβάζου ἐν Ταρσῷ καὶ Σόλοις, σὺν Τ ἢ ΣΟ ἐν τῷ πεδίῳ τῆς ἐμπροσθίας ὄψεως. Ὁ Τιρίβαζος ἦρχε τῆς δυτικῆς Ἀρμενίας ἐν τοῖς χρόνοις τοῦ Ξενοφῶντος. Κατόπιν ἦρχε τῶν Περσικῶν στρατῶν ἐν τῇ δυτικῇ Μικρᾷ Ἀσίᾳ, ἀπὸ δὲ τοῦ 386 π. Χ. ἦτο ἐν Κιλικίᾳ ἔνθα μετὰ τοῦ Ὀρόντου διωργάνου καὶ ἦρχε τῆς ἐναντίον τοῦ Εὐαγόρα τῆς Κύπρου ἐκστρατείας (Waddington, Mél. I 61).

Περὶ τὰ 370 - 350 π. Χ.

Ι — Σ Κεφαλὴ Ἀθηνᾶς ἀντωπός, μετὰ τριλόφου περικεφαλαίας.	Ζεὺς καθήμενος ἐπὶ θρόνου πρὸς ἀρ. κρατῶν δὲ σκῆπτρον. Ἐν τῷ πεδίῳ, ἀρ. μὲν σταφυλὴ καὶ στάχυς, δεξιᾷ δὲ κράνος καὶ Β· ὑπὸ τὸν θρόνον Σ. ℞ Στατὴρ 168-164 κ.

Παράβαλε ὁμοίους στατῆρας κοπέντας ἐν Μαλλῷ, Ταρσῷ καὶ Σόλοις.

Ἰωτάπη, μικρὰ πόλις Κιλικίας τῆς Τραχείας ἐν τῇ Σελινίτιδι καλουμένῃ χώρᾳ. *Αὐτοκρατορικὰ* — ἀπὸ Ἀδριανοῦ μέχρις

Οὐαλεριανοῦ. *Ἐπιγρ.*, ΙѠΤΑΠΕΙΤѠΝ. *Τύποι* — Τύχη· Ἡρακλῆς καὶ Θάλασσα (;)· Δημήτηρ κρατοῦσα δᾷδα καὶ κλάδον.

Καραλλία, κειμένη πιθανῶς ἐν τῷ νῦν *Βέη Σχεχέρ*, πρὸς νότον τῆς Κοραλίδος λίμνης, ἐπὶ τῶν ὁρίων τῆς Ἰσαυρίας (πρβλ. Waddington, *Rev. Num.*, σειρὰ III, τόμ. I, σ. 31), οὐχὶ δ' ὡς συνήθως τίθεται ἐπὶ τῶν γεωγραφικῶν πινάκων, ἐν τῷ νῦν *Κερέλι*, πρὸς νότον τῆς αὐτῆς λίμνης. *Αὐτοκρατορικά* — ἀπὸ Αὐρηλίου μέχρι Σαλωνίνης. *Ἐπιγρ.*, ΚΑΡΑΛΛΙΩΤΩΝ. Ἡ Ἀθηνᾶ καὶ ἡ Ἄρτεμις εἶνε αἱ συνηθέστατα ἐπὶ τῶν νομισμάτων παριστώμεναι θεότητες.

Κάσα, ἐν τῇ χώρᾳ τῶν μεταξὺ Ἰσαυρίας καὶ Πισιδίας ἢ Παμφυλίας συνόρων, πιθανῶς παρὰ τὴν Καράλλιαν (*Rev. Num.*, ἔ. ἀ.). *Αὐτοκρατορικὰ*—ἀπὸ Οὐήρου μέχρις Οὐαλεριανοῦ. *Ἐπιγρ.*, ΚΑϹΑΤΩΝ. *Τύποι*, συνήθεις.

Καστάβαλα. Ἴδε Ἱεράπολιν.

Κελένδερις, κατὰ τὴν παράδοσιν Ἀσσυριακὴ ἢ Φοινικικὴ πόλις, ἀποικισθεῖσα ἐν παλαιᾷ ἐποχῇ ὑπὸ Ἑλλήνων ἐκ Σάμου. Ἔκειτο ἐπὶ βράχου ὑψηλοῦ, σχεδὸν ὑπὸ τῆς θαλάσσης πανταχόθεν περιβαλλομένου ἐπὶ τῆς ἀκτῆς Κιλικίας τῆς Τραχείας. Εἶχε δὲ μικρὸν λιμένα, ὅστις συνετέλεσεν εἰς τὴν ἀφθονίαν τῶν ἀργυρῶν αὐτῆς νομισμάτων.

Πρὸ τοῦ 450 περίπου π. Χ. Αἰγινητικὸς σταθμητικὸς κανών.

Ἱππεὺς μετὰ δύο δοράτων.	Τετράγωνον ἔγκοιλον εἰς τέσσαρα διῃρημένον (Brandis, 497). . Ꝑ 180 κ.
Τράγος γονατίζων ἐπὶ τῆς μιᾶς κνήμης.	Τετράγωνον ἔγκοιλον ἀκανόνιστον . Ꝑ 93·6 κ.
Τράγος πηδῶν (B. M. *Guide*, Πίν. III. 37.)	Τετράγωνον ἔγκοιλον εἰς τέσσαρα διῃρημένον. . . . . . Ꝑ 93 κ.

Περὶ τὰ 450-400 π. Χ. Περσικὸς σταθμητικὸς κανών.

Ἱππεὺς γυμνός, μετὰ μαστιγίου, ἐπιβαίνων πλαγίως ἵππου ἠνωρθωμένου. Ἐν τῷ πεδίῳ, ἐνίοτε, Α ἢ Γ. (Hunter, Πίν. XVI. 13, 14· καὶ Brandis, σ. 497.)	Τράγος γονατίζων ἐπὶ τῆς μιᾶς κνήμης καὶ στρεφόμενος. Ἐν τῷ πεδίῳ κλάδος κισσοῦ ἢ ἕτερόν τι σύμβολον· Τὸ ὅλον ἐν πεδίῳ ἐγκοίλῳ κυκλικῷ . AR 170-160 κ.

Περὶ τὰ 400-350 π. Χ. ἢ βραδύτερον.

Ἱππεὺς γυμνός, ὡς ἀνωτέρω. *(Πίναξ ΚΕ'. 12.)*	ΚΕΛΕΝ Τράγος γονατίζων ὡς ἀνωτέρω . . AR 170-160 κ.
Ὁμοίως.	» Ὁμοίως . . . AR 55 κ·
Ἵππος ἐλεύθερος.	ΚΕ Ὁμοίως . . . AR 11 κ.

Μετὰ διακοπὴν δύο περίπου αἰώνων, ἡ νομισματοκοπία τῆς Κελενδέρεως ἄρχεται πάλιν ἐπὶ τῆς ἀρχῆς τῶν Σελευκιδῶν κατὰ τὸν δεύτερον αἰῶνα π. Χ.

Κεφαλὴ Δημητρίου τοῦ Α'. (162-150 π. Χ.)	ΚΕΛΕΝΔΕΡΙΤΩΝ Τράγος . Æ ·6

38-72 μ. Χ.

Μετὰ νέαν πάλιν μακρὰν διακοπὴν ἀπαντῶμεν ἐκ νέου χαλκᾶ νομίσματα τῆς Κελενδέρεως ἐν τοῖς χρόνοις Ἀντιόχου Δ' τῆς Κομμαγηνῆς.

Κεφαλὴ μετὰ τοῦ ὀνόματος καὶ τῶν τίτλων Ἀντιόχου Δ', βασιλέως τῆς Κομμαγηνῆς.	ΚΕΛΕΝΔΕΡΙΤΩΝ Ἀπόλλων ἱστάμενος . . . . Æ ·95

Ὑπάρχουσιν ὡσαύτως αὐτόνομα καὶ *αὐτοκρατορικὰ* χαλκᾶ νομίσματα—ἀπὸ Κομμόδου μέχρις Ἐτρουσκίλλας. *Ἐπιγρ.*, ΚΕΛΕΝΔΕΡΙΤΩΝ. *Τύποι*—Ποσειδῶν, Τύχη, Ἀπόλλων, κτλ.

Κεννατίς. Ἴδε Λαλασσὶς καὶ Ὄλβα.

Κητίς. Ἴδε Κοροπισσὸν καὶ Ὄλβαν.

Κοδριγαί. Ἴδε Ταρσόν.

Κολυβρασσός, κειμένη πιθανῶς ἐν *Σεΐδι Σχεχὲρ* μεταξὺ

τῶν λιμνῶν Κοραλίδος καὶ Τρωγίτιδος παρὰ τὰ σύνορα τῆς Παμφυλίας (πρβλ. Waddington, *Rev. Num.*, σειρὰ III, τόμ. Α'. σ. 31). Ἔχομεν αὐτῆς ***αὐτοκρατορικὰ*** νομίσματα ἀπὸ Αὐρηλίου μέχρι Σαλωνίνου. ***Ἐπιγρ.***, ΚΟΛΥΒΡΑССЄѠΝ. Ἐπὶ διαφόρων νομισμάτων τοῦ Οὐαλεριανοῦ καὶ Σαλωνίνου ἡ λέξις ΓΥΜΝΑСΙΑΡΧΙΑ ἀπαντᾷ συνδεδυασμένη μετὰ τοῦ τύπου τριῶν ἀγωνιστικῶν ὑδριῶν. Σημαίνει δ' αὕτη, πιθανῶς, ὅτι τὸ νόμισμα ἐκόπη ἐπ' εὐκαιρίᾳ τελέσεως ἀγώνων προεδρευομένων ὑπὸ ἀξιωματούχου καλουμένου γυμνασιάρχου. ***Τύποι*** — Ὑγίεια, Ζεύς, Τύχη, Ἥφαιστος χαλκεύων τὴν ἀσπίδα τοῦ Ἀχιλλέως, Ἑρμῆς, κτλ.

Κορακήσιον, θέσις ὀχυρὰ ἐπὶ τῆς ἀκτῆς Κιλικίας τῆς Τραχείας παρὰ τὰ ὅρια τῆς Παμφυλίας. Ἀπὸ τοῦ χρόνου, ὅτε περιῆλθεν εἰς τὰς χεῖρας τοῦ σφετεριστοῦ Τρύφωνος, βραχὺ μετὰ τὸ 150 π. Χ., ἀπέβη τὸ ὀχυρὸν ὁρμητήριον τῶν Κιλίκων πειρατῶν μέχρι τῆς ὑποταγῆς αὐτῆς ὑπὸ τοῦ Πομπηίου ἐν ἔτει 67 π. Χ. Ὑπάρχουσι δὲ ***αὐτοκρατορικὰ*** νομίσματα ἀπὸ Τραϊανοῦ μέχρι Σαλωνίνης. ***Ἐπιγρ.***, ΚΟΡΑΚΗСΙΩΤΩΝ ἢ ΚΟΡΑΚΗСΙΩΝ. Τύποι ἄνευ ἰδιαιτέρου τινὸς ἐνδιαφέροντος.

Κοροπισσός, μικρὰ πόλις ἄγνωστος τοῖς γεωγράφοις, πιθανῶς δὲ κειμένη μεταξὺ τῶν ὀρέων, ἅτινα περικυκλοῦσι τὸ λεκανοπέδιον τοῦ Καλυκάδνου, ἐν τῷ Κητίδι καλουμένῳ διαμερίσματι, ἐξ οὗ καὶ ὁ τίτλος αὐτῆς ***Κήτων μητρόπολις***. ***Αὐτοκρατορικὰ*** — ἀπὸ Ἀδριανοῦ μέχρις Οὐαλεριανοῦ. ***Ἐπιγρ.***, ΚΟΡΟΠΙССЄѠΝ ΤΗС ΚΗΤѠΝ ΜΗΤΡΟΠΟΛЄѠС ἢ ΚΗΤ. ΜΗΤΡΟ. Ὁ μόνος ἀξιοσημείωτος τύπος εἶνε ὁ Περσεὺς κρατῶν ἅρπην καὶ τὴν κεφαλὴν τῆς Μεδούσης, τείνων δὲ τὴν δεξιὰν τῇ Ἀνδρομέδᾳ, ἥτις ἵσταται πεπλοφόρος πρὸ αὐτοῦ (Waddington, *Rev. Num.*, σειρ. III. τόμ. Δ'. σ. 32)· μεταξὺ δ' αὐτῶν κεῖται τὸ πτῶμα θαλασσίου ***κήτους***, ἀναφερομένου ἴσως εἰς τὸ ὄνομα (Κητίς) τοῦ διαμερίσματος (*Z. f. N.*, XIII. σελ. 15).

Κώρυκος, ἐπὶ τῆς ἀκτῆς Κιλικίας τῆς Τραχείας παρὰ τὰς ἐκβολὰς τοῦ Καλυκάδνου. Πλησίον αὐτῆς ἦτο τὸ περίφημον Κωρύκιον ἄντρον, κατοικία τοῦ γίγαντος Τυφῶνος, *τόν ποτε Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον,* (Πινδ., *Πυθ.* Ι. 31. Στράβ., 417, 627 671 καὶ 683). Αὐτόνομα Ῥωμαϊκῶν χρόνων καὶ *αὐτοκρατορικὰ*— ἀπὸ Τραϊανοῦ μέχρι Γαλλιηνοῦ. *Ἐπιγρ.* ΚΟΡΥΚΙΩΤΩΝ, συνήθως προστιθεμένων τῶν ΑΥΤΟΝΟΜΟΥ ΑϹΥΛΟΥ ἢ ΝΑΥΑΡΧΙΔΟϹ, ὡσαύτως ΘΕΟΓΑΜΙΑ(;) καὶ ΘΕΜΙΔ., ἀναφερόμενα εἰς τὸν πανηγυρισμὸν ἀγώνων καλουμένων *θέμιδες* (ἴδε Ἄσπενδον σελ. 256). Ὁ σπουδαιότατος τύπος παριστᾷ τὴν Θάλασσαν μετὰ ὀστράκου καρκίνου ἐπὶ κεφαλῆς, κρατοῦσαν δὲ πηδάλιον και ἀκροστόλιον. Ἐν τούτοις ὁ χαρακτηριστικὸς τύπος τῶν νομισμάτων τῆς Κωρύκου εἶνε ὁ ἱστάμενος Ἑρμῆς (ἴδε Eckhel, III. 53 καὶ *Rev. Num.*, 1854, 13 καὶ 139).

Λαέρτη, ἐπὶ τῆς παραλίας Κιλικίας τῆς Τραχείας παρὰ τὸ Κορακήσιον καὶ τὰ ὅρια τῆς Παμφυλίας. *Αὐτοκρατορικὰ*—ἀπὸ Τραϊανοῦ μέχρι Σαλωνίνου. *Ἐπιγρ.*, ΛΑΕΡΤΕΙΤΩΝ. *Τύποι* ἄνευ ἰδίου τινὸς ἐνδιαφέροντος.

Λακανατές, διαμέρισμα ἐν τῷ βορειοανατολικῷ τμήματι Κιλικίας τῆς Πεδιάδος. Νομίσματα χαλκᾶ μετὰ τῆς ἐπιγραφῆς ΛΑΚΑΝΑΤΩΝ ἐκόπησαν ὑπὸ Ἀντιόχου τοῦ Δ΄ βασιλέως τῆς Κομμαγηνῆς, τῆς συζύγου αὐτοῦ βασιλίσσης Ἰωτάπης καὶ τῶν υἱῶν αὐτῶν Ἐπιφάνους καὶ Καλλινίκου. *Τύποι*—Σκορπίος ἢ δύο ἱππεῖς, *ὄπισθ.* Αἰγόκερως.

Λαλασσείς, διαμέρισμα Κιλικίας τῆς Τραχείας, ἐπὶ τῶν νοτίων κλιτύων τοῦ ὄρους Ταύρου. Αὐτόνομα χαλκᾶ νομίσματα Ῥωμαϊκῶν χρόνων. *Ἐπιγρ.*, ΛΑΛΑϹϹΕΩΝ, ἢ ΛΑΛΑϹϹ. ΕΝΤΙ[ΜΟϹ] *(;)*. *Τύποι* συνήθεις. Ἴδε ὡσαύτως Ὄλβην, σελ. 300. Ὑπάρχουσιν πρὸς τούτοις βασιλικὰ νομίσματα Πολέμωνος Β΄. βασιλέως τοῦ Βοσπόρου, ὅστις ἐν ἔτει 41 μ. Χ. ἔλαβε μέρος τῆς

Κιλικίας παρὰ τοῦ αὐτοκράτορος Κλαυδίου εἰς ἀνταλλαγὴν τοῦ βασιλείου αὐτοῦ τοῦ Βοσπόρου. Τὰ νομίσματα ταῦτα φέρουσι τὰς ἐπιγραφὰς ΠΟΛΕΜΩΝΟΣ ΒΑΣΙΛΕΩΣ, *ὄπ* [ΟΛΒΕ]ΩΝ ΛΑΛΑΣΕΩΝ ΚΑΙ ΚΕΝΝΑΤΩΝ. Βραδύτερον ἔτι, ἐν τοῖς χρόνοις τοῦ Δομιτιανοῦ, οἱ Λαλασσεῖς καὶ Κεννᾶται φαίνεται ὅτι ἔλαβον ὡς δῶρον τὴν αὐτονομίαν, διότι ὑπάρχει νόμισμά τι τοῦ Δομιτιανοῦ φέρον τὴν ἐπιγραφὴν ΚΟΙΝΟΝ ΛΑΛΑΣΕΩΝ ΚΑΙ Κ[ΕΝ]ΝΑΤΩΝ (*Z. f. N.*, 1885, σ. 365).

Λάμος, μικρὰ πόλις παρὰ τὸ στόμιον τοῦ ποταμοῦ Λάμου, ἐξ' οὗ ἐκλήθη ἡ χώρα Λαμωτίς, μεταξὺ Σελευκείας καὶ Σόλων, ἐν τῷ ἀνατολικῷ ἄκρῳ Κιλικίας τῆς Τραχείας. *Αὐτοκρατορικά.* Σεπτ. Σεουήρου καὶ Καρακάλλα (*Nouvelles Annales,* II. 349) *'Επιγρ.*, [ΛΑΜ]ΟΥ ΜΗΤΡΟΠ[ΟΛΕѠϹ] ΛΑΜѠΤΙΔΟϹ. *Τύποι* —Ζεὺς καθήμενος ἐν ναῷ· ἀετὸς μετ' ἀνοικτῶν πτερύγων ἐπὶ βωμοῦ.

Λύρβη. Ἡ θέσις τῆς πόλεως ταύτης δὲν ὡρίσθη εἰσέτι ἀκριβῶς. Πιθανῶς δ' ἔκειτο ἐπὶ τῶν ὁρίων τῆς Ἰσαυρίας καὶ Πισιδίας, ἢ Παμφυλίας, ἐν τῇ γειτονίᾳ τῶν λιμνῶν Κοραλίδος καὶ Τρωγίτιδος, οὐχὶ μακρὰν τῶν πόλεων Καραλλίας, Κάσης καὶ Κολυβρασσοῦ. Ὑπάρχουσιν *αὐτοκρατορικὰ* νομίσματα τῆς Λύρβης ἀπὸ Σεουήρου Ἀλεξάνδρου μέχρι Σαλωνίνου, μετ' *ἐπιγρ.*, ΛΥΡΒΕΙΤΩΝ καὶ τύπων ἀναφερομένων εἰς τὴν λατρείαν τοῦ Σεράπιδος, Ἡλίου, Ἑρμοῦ, Ἄρεως, Ἀσκληπιοῦ (Waddington, *As. Min.*, 101) καὶ Ἀθηνᾶς, ἥτις ἀπεικονίζεται κρατοῦσα κλάδον φοίνικος καὶ ῥίπτουσα ψῆφον εἰς τὴν κληρωτίδα.

Μαλλός, ἐκ τῶν ἀρχαιοτάτων πόλεων τῆς Κιλικίας. Ἔκειτο ἐπὶ τῶν ὀχθῶν τοῦ Πυράμου ποταμοῦ, νοτιοδυτικῶς τῆς Μόψου Ἑστίας. Ἡ κτίσις αὐτῆς ἀναφέρεται ὑπό τινων ἀρχαίων συγγραφέων εἰς ἐπώνυμόν τινα ἥρωα Μαλλόν, ὑπ' ἄλλων δὲ εἰς Ἀμφίλοχον τὸν Ἀργεῖον.

Ἐκ τῆς ἱστορίας αὐτῆς οὐδὲν εἶνε γνωστὸν πρὸ τῆς ἐκστρατείας τοῦ Ἀλεξάνδρου, πλὴν ὅτι ἦτο φόρου ὑποτελὴς τοῖς βασι-

λεῦσι τῆς Περσίας. Ἔχομεν ὅμως πλουσίαν σειρὰν ἀργυρῶν νομισμάτων αὐτῆς χρονολογουμένην ἀπὸ τοῦ τέλους τοῦ ἕκτου αἰῶνος μέχρι τῶν χρόνων Ἀλεξάνδρου τοῦ Μεγάλου. Ὁ Δρ. Imhoof (*Ann. de Num.*, 1883, σ. 89) κατέταξε τὰ νομίσματα τῆς Μαλλοῦ ὡς ἑξῆς. Τούτων δὲ τὰ κυριώτατα ἀπεικονίσθησαν ὑπ' αὐτοῦ: —

Αἰγινητικὸς σταθμητικὸς κανών, περὶ τὰ 520-485 π. Χ.

Γυμνὴ ἀνδρικὴ μορφή, γονατίζουσα ἐπὶ τῆς μιᾶς κνήμης. (*Ann. de Num.*, 1883, Πίν. V. 1)	Τετράγωνον ἔγκοιλον. . . . . . Ꝛ Στατὴρ 181 κ.
Πτερωτὴ γυναικεία μορφὴ μετὰ χειρῶν τεταμένων γονατίζουσα ἢ τρέχουσα. (Imhoof, *Mon. Gr.*, Πίν. G. 1.)	Τετράγωνον ἔγκοιλον, περιέχον λίθον τετράγωνον. Ꝛ Στατὴρ 178 κ.
Ὁμοίως. (*Αὐτόθι*, Πίν. G. 2.)	Τετράγωνον ἔγκοιλον, περιέχον κωνικὸν λίθον. . Ꝛ Στατὴρ 183 κ.

485-425 π. Χ.

Πτερωτὴ γυναικεία μορφή, γονατίζουσα ἐπὶ τῆς μιᾶς κνήμης, κρατοῦσα δὲ κηρύκειον καὶ στέφανον.	Τετράγωνον ἔγκοιλον περιέχον πυραμιδοειδῆ λίθον, μεταξὺ δύο σταφυλῶν, ἐνίοτε δὲ μετὰ ∇—Γ ἢ ∇—Ι—Γ [1] ἐν τῷ πεδίῳ, . . . Ꝛ Στατὴρ 182 κ.
Ὁμοίως. (Imhoof, *Choix*, Πίν. V. 179.)	Τετράγωνον ἔγκοιλον περιέχον γρῦπα Ꝛ Τριώβολ. 42 κ.

Περσικὸς σταθμητικὸς κανών, 425-385 π. Χ.

Πωγωνοφόρος ἢ νεαρὰ ἄρρην μορφὴ μετὰ τεσσάρων πτερύγων, ἐνίοτε μετ' Ἰανομόρφου κεφαλῆς, γονατίζουσα ἐπὶ τῆς μιᾶς κνήμης, κρατοῦσα δὲ δι' ἀμφοτέρων τῶν χειρῶν δίσκον. Ἐπὶ ἑνὸς δὲ κομματίου εὕρηται κάτω αὐτῆς πρόσθιον ταύρου ἀνθρωποκεφάλου.	ΜΑΡ, ΜΑΡΛ ἢ ΜΑΡΛΟ. Κύκνος, ὕπερθεν δὲ ἐνίοτε μικρὸν πτηνὸν ἢ μέλισσα . Ꝛ Στατὴρ 174 κ.

1) Τὰ στοιχεῖα ∇, Γ, κτλ. ἐπὶ τῶν ἀργυρῶν στατήρων τῆς Μαλλοῦ ἐν σχέσει πρὸς τὸν πυραμιδοειδῆ λίθον ὑποτίθεται ὅτι παριστῶσι τὰ *ἱερὰ στοιχεῖα* τὰ ἐνίοτε ἐπιγεγραμμένα ἐπὶ τῶν ἱερῶν λίθων τῶν καλουμένων *βαιτυλίων* (Imhoof, Mallos, Megarsos, κτλ. σ. 35).

Νεαρὰ μορφὴ ἀνδρὸς πτερωτοῦ, γονατίζοντος ἐπὶ τῆς μιᾶς κνήμης καὶ κρατοῦντος δίσκον δι' ἀμφοτέρων τῶν χειρῶν. Ἐπιγρ. ἐνίοτε מדלו γράμμασιν Ἀραμαϊκοῖς. | ΜΑΡΛ, ΜΑΡ ἢ ΜΑΡΛΟΤΑΝ Κύκνος, ἐν τῷ πεδίῳ δὲ σταυρὸς ὠτίτης (crux ansata), πτηνόν, τέττιξ, βωμός, στάχυς, δελφὶς καὶ ἕτερα σύμβολα. . . . . ℞ Στατὴρ 163-154 κ. (*Πίναξ ΚΖ'. 1.*)

Κεφαλὴ Ἡρακλέους πωγωνοφόρου ἐν λεοντῇ. | ΜΑ Κύκνος. . . . . . ℞ 14 κ.

Διόνυσος νεαρὸς καθήμενος πρὸς ἀρ. ἐν ἀμπέλῳ μετὰ σταφυλῶν· φαίνεται δὲ κρατῶν στάχυς. | ΜΑΡ Ἄρρην μορφὴ ἐλαύνουσα ζεῦγος Ἰνδικῶν βοῶν πρὸς ἀρ. Ὑπεράνω σύμβολον πτερωτόν, πρὸ αὐτῆς δὲ κόκκος σίτου. . . . . ℞ Στατὴρ 156·5 κ.

Ποικιλίας πάντων τῶν ἀνωτέρω νομισμάτων ἴδε παρὰ Imhoof (ἔ. ἀ.), ὅστις ὡς πρὸς τοὺς τύπους σημειοῖ ὅτι ὁ κωνικὸς λίθος καὶ ὁ κύκνος εἶνε σύμβολα τῆς λατρείας τῆς Ἀστάρτης· ὅτι δὲ αἱ παράδοξοι πτερωταὶ μορφαὶ παριστῶσι διαφόρους Φοινικικὰς θεότητας, ἄρρενας καὶ θήλεις, καὶ ὅτι ἡ μόνη δυναμένη νὰ ταυτισθῇ εἶνε ἡ τοῦ θεοῦ Ἐλ ἤτοι Κρόνου, ἡ διπρόσωπος καὶ τέσσαρας πτέρυγας ἔχουσα. Ὁ δίσκος, ὃν φέρουσιν, παριστᾷ ἴσως τοὺς διαφόρους πλανήτας, ὧν προΐσταντο αἱ θεότητες αὗται (Movers, *Phoenizier*, I, σ. 161 κ. ἑξ.). Ἡ ἀπὸ τῶν ΜΑΡΛΟ καὶ ΜΑΛΡΟ μετάβασις πρὸς τὴν ὁμαλωτέραν μορφὴν ΜΑΛΛΩ εἶνε παράδειγμα τῆς συνήθους ἐναλλαγῆς τῶν ὑγρῶν Λ καὶ Ρ.

Περὶ τὰ 385-333 π. Χ.

Οἱ τύποι τῶν νομισμάτων τῆς περιόδου ταύτης, δηλοῦσι στενὰς σχέσεις μεταξὺ Μαλλοῦ καὶ Περσίας, ταὐτοχρόνως δὲ τὴν αὔξουσαν ἐπίδρασιν Ἑλληνικῶν θρησκευτικῶν ἰδεῶν.

Ὁ βασιλεὺς τῆς Περσίας τρέχων ἢ ἡμιγονατίζων, ὡς ἐπὶ τῶν βασιλικῶν δαρεικῶν νομισμάτων, μετὰ τόξου καὶ δόρατος. | Βασιλεὺς γονατίζων μετὰ τόξου καὶ φαρέτρας. ℞ Στατὴρ 163 κ.

Ὁ βασιλεὺς τῆς Περσίας τρέχων ἢ ἡμιγονατίζων, ὡς ἐπὶ τῶν βασιλικῶν δαρεικῶν νομισμάτων, μετὰ τόξου καὶ δόρατος.	ΜΑΛ Ἡρακλῆς ἄγχων λέοντα . . AR Στατὴρ 161 κ.
Ὁμοίως.	Κεφαλὴ Πέρσου σατράπου μετὰ Περσικῆς τιάρας . . . . . AR 9 κ.
Κεφαλὴ Ἡρακλέους πωγωνοφόρος μετὰ λεοντῆς περὶ τὸν τράχηλον.	ΜΑΛ Κεφαλὴ σατράπου ὡς ἀνωτέρω AR Στατήρ.
Κεφαλὴ Ἀφροδίτης μετὰ στεφάνης.	ΜΑΛ ἢ ΜΑΛΛΩΤ Κεφαλὴ σατράπου. . . AR Στατὴρ 154 κ.
Ἀθηνᾶ καθημένη πρὸς ἀρ., στηριζομένη ἐπὶ σκήπτρου, ἔχουσα δὲ παρ' αὐτῇ ἀσπίδα.	ΜΑΛ Ἀφροδίτη παρὰ κιονίσκον, θέτουσα τὴν χεῖρα αὐτῆς ἐπὶ τῶν ὤμων τοῦ Ἑρμοῦ. . . . . . . AR Στατὴρ 164 κ.
ΜΑ Κεφαλὴ Ἡρακλέους πωγωνοφόρου, δαφνοστεφής.	Ἡρακλῆς ἄγχων λέοντα. . . . . . AR Στατὴρ 158 κ.
Κεφαλὴ πωγωνοφόρος Ἡρακλέους ἢ Διονύσου, ἀναδεδεμένη διὰ πλατείας ταινίας.	ΜΑΛ Δημήτηρ κρατοῦσα μακρὰν δᾷδα καὶ στάχυς, φέρουσα μακρὸν χιτῶνα καὶ πέπλον, βαδίζουσα δὲ πρὸς δ. *Σύμβολον*—κόκκος σίτου. AR Στατήρ.
Κεφαλὴ Ἀθηνᾶς κρανοφόρος, ἀντωπός, ἐν δὲ τῷ πεδίῳ, σταφυλὴ καὶ Μ.	Ζεὺς καθήμενος ἐπὶ θρόνου πρὸς ἀρ. μετὰ σκήπτρου· ἐν τῷ πεδίῳ σταφυλή, στάχυς καὶ γράμμα Β ὑπὸ τὸν θρόνον Μ. AR Στατὴρ 168-164 κ.

Διαφοραὶ δέ τινες μετὰ τῶν γραμμάτων Τ καὶ Ι θὰ ἐκόπησαν πιθανῶς ἐν Σόλοις, Ταρσῷ καὶ Ἰσσῷ. Εἶνε ἐπίσης γνωστὰ κομμάτια μετὰ Ι-Σ ἐπὶ τῆς ἐμπροσθίας ὄψεως (ἴδε Ἰσσόν).

332-306 π. Χ.

Νομίσματα Ἀλεξάνδρου τοῦ Μεγάλου (Müller, ἀριθ. 1308-1318).

306-146 π. Χ.

Ἐν τῇ περιόδῳ ταύτῃ δυνατὸν νὰ ἐκόπησαν ἐν Μαλλῷ βασιλικὰ νομίσματα τῶν Σελευκιδῶν, ἀλλὰ δὲν εἶνε δυνατὸν νὰ ὁρισθῇ τίνα εἶνε ταῦτα.

146-125 π. Χ.

Αὐτόνομα χαλκᾶ, *ἐμπρ.* κεφαλὴ Τύχης, *ὀπισθ.* ΜΑΛΛΩΤΩΝ, Ἀθηνᾶ Μεγαρσὶς ἱσταμένη κατ' ἐνώπιον· ἐπίσης τετράδραχμα καὶ δραχμαὶ Δημητρίου τοῦ Β' μετὰ τῆς εἰκόνος αὐτοῦ καὶ Μ ἢ ΜΑΛ., *ὀπισθ.* ΒΑΣΙΛΕΩΣ ΔΗΜΗΤΡΙΟΥ ΦΙΛΑΔΕΛΦΟΥ ΝΙΚΑΤΟΡΟΣ ἢ ΘΕΟΥ ΝΙΚΑΤΟΡΟΣ, εἴδωλον θεᾶς κρανοφόρου ἱσταμένης (Ἀθηνᾶ Μεγαρσίς;). Ταῦτα δ' εἶνε τὰ τελευταῖα νομίσματα, ἅτινα δύνανται νὰ ἀποδοθῶσιν τῇ Μαλλῷ πρὶν τῆς ἀπελευθερώσεως τῆς Κιλικίας ἀπὸ τῆς διοικήσεως τοῦ Τιγράνους καὶ πρὶν τῆς ὑπὸ τοῦ Πομπηίου καταστροφῆς τῶν πειρατῶν ἐν ἔτει 68 π. Χ..

67-30 π. Χ.

Ἐν ἔτει 67 π. Χ. ἡ Κιλικία ὠργανίσθη εἰς Ῥωμαϊκὴν ἐπαρχίαν. Τότε δ' ἡ Μαλλὸς ἔκοψε χαλκᾶ νομίσματα τῶν ἑξῆς τύπων:—

Κεφαλὴ Ἀπόλλωνος (;) πρὸς δ.	ΜΑΛΛΩΤΩΝ Ἀθηνᾶ **καθημένη πρὸς ἀρ. . . . Æ ·85**
Κεφαλὴ Διὸς πρὸς δ., δαφνοστεφής.	**» Τύχη πυργοστεφὴς καὶ πεπλοφόρος, καθημένη ἐπὶ βράχου μεταξὺ δύο ποταμῶν νηχομένων πρὸς ἀρ. . . . . Æ 1·0**

30 π. Χ. μέχρι τοῦ 217 μ. Χ.

Αὐτοκρατορικά — ἀπὸ Αὐγούστου μέχρι Καρακάλλα. *Ἐπιγρ.*, ΜΑΛΛΩΤΩΝ. *Τύποι* — Τύχη μεταξὺ δύο ποταμίων θεῶν· εἴδωλον Ἀθηνᾶς Μεγαρσίδος ὡς ἀνωτέρω· Ἀπόλλων ἱστάμενος, κτλ.

249-260 μ. Χ.

Ἐν τοῖς χρόνοις τοῦ Τραϊανοῦ Δεκίου ἡ Μαλλὸς ἀπῳκίσθη ὑπὸ Ῥωμαίων, ἔκτοτε δὲ μέχρι τῶν χρόνων τοῦ Οὐαλεριανοῦ αἱ ἐπιγραφαὶ εἶνε Λατινικαί, **MALLO COLONIA S. C.** ἐπίσης **SACER SENATUS**. *Τύποι* — Αὐτοκράτωρ στεφανούμενος ὑπὸ ἀποίκου, πρὸ αὐτοῦ δ' ἵσταται Νίκη, κρατοῦσα ἀγαλμάτιον Ἀθηνᾶς. Τύχη καθημένη μεταξὺ δύο ποταμίων θεῶν. Ἀπόλλων Πύθιος ἢ Ἀμφίλο-

χος ἱστάμενος παρὰ τρίποδα, περὶ ὃν ἑλίσσεται ὄφις, πρὸ αὐτοῦ δὲ κάπρος. Τὸ μαντεῖον τοῦ Ἀμφιλόχου ἐν Μαλλῷ ἦτο ἐκ τῶν διασημοτάτων τῆς Μικρᾶς Ἀσίας (Παυσ., Ι, 34. 3).

Μεγαρσός. Ἴδε Ἀντιόχειαν πρὸς τῷ Πυράμῳ. (Τὸ παρὰ Mionnet, 251 καὶ *Suppl.*, 288, περιγραφὲν νόμισμα καὶ παρ᾽αὐτοῦ ἀναγνωσθὲν ΜΕΓΑΡΣΩΝ ΤΩΝ ΠΡΟΣ ΤΩ ΠΥΡΑΜΩ εἶνε νόμισμα τῆς Ἱεραπόλεως πρὸς τῷ Πυράμῳ κακῶς ἀναγνωσθέν.)

Μόψος ἢ Μόψου Ἑστία (Imhoof, *Mon. Gr.*, σ. 361 καὶ *Zeit. f. Num.*, X. 293), πόλις ἐπὶ τοῦ ποταμοῦ Πυράμου, περὶ τὰ εἴκοσι μίλια ἀπὸ τῆς παραλίας, κτισθεῖσα κατὰ τὴν παράδοσιν ὑπὸ τοῦ Μόψου, υἱοῦ τοῦ Ἀπόλλωνος. Ἀρχαϊκὰ αὐτῆς νομίσματα δὲν εἶνε γνωστά. Ὑπάρχουσιν αὐτόνομα χαλκᾶ τοῦ δευτέρου αἰῶνος π. Χ. *Ἐπιγρ.*, ΜΟΨΕΑΤΩΝ ΤΗΣ ΙΕΡΑΣ ΚΑΙ ΑΥΤΟΝΟΜΟΥ. *Τύποι*—Κεφαλὴ τοῦ Διός, *ὄπισθ.* Βωμὸς καίων (Μόψου ἑστία). Βασιλικὰ νομίσματα Ἀντιόχου τοῦ Δ′ βασιλέως τῆς Συρίας, 175-164 π. Χ. μετ᾽ *ἐπιγραφῆς* ΣΕΛΕΥΚΕΩΝ ΤΩΝ ΠΡΟΣ ΤΩΙ ΠΥΡΑΜΩΙ, Ἄρτεμις κυνηγέτις. Ἡ πόλις Μόψου Ἑστία ἐκαλεῖτο *Σελεύκεια* ἐπὶ βραχὺν χρόνον ἐν τῷ δευτέρῳ αἰῶνι π. Χ., (Waddington, *Voyage archéolog. Explic. des Inscr.*, τόμ. III. 352.).

Αὐτοκρατορικὰ—ἀπὸ Αὐγούστου μέχρις Οὐαλεριανοῦ (*Rev. Num.*, 1854, 17, 139 κ. ἑξ.), φέροντα χρονολογίας κατὰ σύστημα ἀρχόμενον ἀπὸ τοῦ 68 π. Χ. (*Zeit. f. Num.*, X. 294). Μεταξὺ αὐτῶν εἶνε ἀργυρᾶ τετράδραχμα Φοινικικῆς ὁλκῆς (210 κ.) μετὰ κεφαλῶν Ἀδριανοῦ, Σαβίνης (ὡς Ἀρτέμιδος), καὶ Ἀντωνίνου τοῦ Εὐσεβοῦς, *ὄπισθ.* Ἀετὸς μετ᾽ἀναπεπταμένων πτερύγων καὶ βωμὸς μεταξὺ τῶν ποδῶν αὐτοῦ. *Ἐπιγρ.* ΑΔΡΙ. ΜΟΨΕΑΤѠΝ ΠΟΛΕѠϹ, ΑΔΡΙΑΝѠΝ ΜΟΨΕΑΤѠΝ κτλ. Χαλκᾶ νομίσματα διαφόρων τύπων. Μεταξὺ αὐτῶν μνημονευτέος ἵππος χεχαλινωμένος φέρων στέφανον, φαρέτραν καὶ στάχυν, ἢ κλάδον φοίνικος (*Rev. Num.*, 1854, Πίν. ΙΙ. 14)· γέφυρα ἐπὶ τοῦ Πυρά-

μου, μεταξὺ δὲ τῶν ἀψίδων αὐτῆς ΔΩΡΕΑ καὶ ἐν τῷ ἐξέργῳ ΠΥΡΑΜΟϹ (Ἴδε Αἰγαὶ σελ. 283).

Ἀγῶνες — ΟΙΚΟΥΜΕΝΙΚΟϹ.

Νάγιδος, πόλις σημαντικὴ ἐπὶ τῆς παραλίας Κιλικίας τῆς Τραχείας μεταξὺ Ἀνεμουρίου καὶ Κελενδέρεως. Τὰ νομίσματα αὐτῆς εἶνε σχεδὸν πάντα ἀργυρᾶ καὶ χρονολογοῦνται ἀπὸ τοῦ 400 π. Χ. μέχρι τῆς ἐποχῆς τοῦ Ἀλεξάνδρου (Brandis, σ. 498).

Περσικὸς σταθμητικὸς κανών, περὶ τὰ 430-400 π. Χ.

Ἀφροδίτη καθημένη ἀρ., ἐπὶ θρόνου, στεφανουμένη ὑπὸ Ἔρωτος, ὃν φέρει ἐπὶ τοῦ τεταμένου δεξιοῦ βραχίονος αὐτῆς.	ΝΑΓΙΔΙΚΟΝ Διόνυσος ἀρχαϊκῆς τεχνοτροπίας, ἱστάμενος, κρατῶν θύρσον καὶ κλάδον ἀμπέλου μετὰ σταφυλῶν. Τὸ ὅλον ἐν κύκλῳ ἐγκοίλῳ. . . Ꝛ Στατὴρ 158 κ.

Περὶ τὰ 400-380 π. Χ.

Κεφαλὴ Διονύσου πωγωνοφόρου κισσοστεφής.	ΝΑΓΙΔΕΩΝ Κεφαλὴ Ἀφροδίτης μετὰ σφενδόνης Ꝛ Στατὴρ 161 κ.
Ἀφροδίτη ἐπὶ θρόνου κρατοῦσα φιάλην, ὄπισθεν αὐτῆς ὑψηλὸς Ἔρως αἴρων ἑαυτόν, ἵνα στέψῃ αὐτήν.	ΝΑΓΙΔΕΩΝ Διόνυσος ἡμίγυμνος, ἱστάμενος καὶ ἐπὶ θύρσου στηριζόμενος, κρατῶν δὲ κλάδον ἀμπέλου. . . . Ꝛ Στατὴρ 160 κ.

Περὶ τὰ 330-333 π. Χ.

Ἀφροδίτη καθημένη κρατοῦσα φιάλην καὶ στεφανουμένη ὑπὸ Ἔρωτος ἱπταμένου, ὑπὸ τὸν θρόνον μῦς. *(Πίναξ ΚΖ'. 2.)*	ΝΑΓΙΔΙΚΟΝ Διόνυσος ἱστάμενος, ὡς ἀνωτέρω. Ἐν τῷ πεδίῳ διάφορα ὀνόματα ἀρχόντων συντετμημένα . . Ꝛ Στατὴρ 154 κ.
Ἀφροδίτη καθημένη μεταξὺ δύο σφιγγῶν καὶ κρατοῦσα ἄνθος ἐν τῇ δεξιᾷ της. (Imhoof, *Mon. Gr.*, Πίν. G. 15)	Ἀθηνᾶ ἱσταμένη, ἀντωπός, κρατοῦσα Νίκην στέφουσαν αὐτὴν καὶ στηριζομένη διὰ τῆς ἀριστερᾶς ἐπὶ ἀσπίδος. Παρ' αὐτῇ δένδρον. . . Ꝛ Στατὴρ 153 κ.

Ὑπάρχουσιν ὡσαύτως ὀβολοὶ καὶ χαλκᾶ νομίσματα μετὰ κεφαλῶν Ἀφροδίτης καὶ Διονύσου (Imhoof, *Mon. Gr.*, σ. 363)

Ὄλβη, ἐν τῷ ἐσωτερικῷ Κιλικίας τῆς Τραχείας, εἰς τὰς ὑπωρείας τοῦ Ταύρου ἐπὶ βραχίονος τοῦ Καλυκάδνου κτισθεῖσα κατὰ τὴν παράδοσιν ὑπὸ Αἴαντος υἱοῦ τοῦ Τεύκρου, ἱδρύσαντος αὐτόθι διάσημον ναὸν τοῦ Διός, οὗ ὁ ἀρχιερεὺς ἔφερε τὸν τίτλον δυνάστου τῆς Ὄλβης καὶ τοπάρχου Κεννατίδος καὶ Λαλασσίδος. Ἀπόγονοι τῆς ἱερατικῆς ταύτης οἰκογενείας διετήρησαν τὴν ἀνεξαρτησίαν αὐτῶν διὰ τὴν πρὸς αὐτοὺς εὔνοιαν τῶν Ῥωμαίων ἐπί τινα χρόνον μετὰ τὴν διοργάνωσιν τῆς λοιπῆς Κιλικίας εἰς Ῥωμαϊκὴν ἐπαρχίαν (Στράβ., 672). Ἔχομεν δὲ τὰ ἑξῆς νομισματικὰ μαρτύρια τῆς ἀρχῆς αὐτῶν (Waddington, *Mélanges*, II. σελ. 121 κ. ἑξ.):—

Περὶ τὰ 39 - 29 π. Χ. ἢ βραδύτερον.

Πολέμων Α'. *Ἐπιγρ.*, Μ. ΑΝΤΩΝΙΟΥ ΠΟΛΕΜΩΝΟΣ ΑΡΧΙΕΡΕΩΣ ΔΥΝΑΣΤΟΥ ΟΛΒΕΩΝ ΤΗΣ ΙΕΡΑΣ ΚΕΝΝΑΤΩΝ ΚΑΙ ΛΑΛΑΣΣΕΩΝ. *Τύποι* — Κεφαλὴ Πολέμωνος, *ὄπισθ.*, θρόνος ἱερός· κεραυνός. Æ μέγεθ., ·95.

Αἴας (χρόνοι Αὐγούστου καὶ Τιβερίου. 11—15(;) π. Χ.). *Ἐπιγρ.* ΚΑΙΣΑΡΟΣ ΣΕΒΑΣΤΟΥ, κεφαλὴ Αὐγούστου· *ὄπισθ.* ΑΡΧΙΕΡΕΩΣ ΑΙΑΝΤΟΣ ΤΕΥΚΡΟΥ ΤΟΠΑΡΧΟΥ ΚΕΝΝΑΤΩΝ ΚΑΙ ΛΑΛΑΣΣΕΩΝ, κεραυνὸς Æ ·95. Κεφαλὴ Ἑρμοῦ· *ὄπισθ.* τρισκελές. Æ· 9.

Πολέμων ὁ Β' (41 π. Χ.) ἔλαβε παρὰ τοῦ Κλαυδίου μέρος τῆς Κιλικίας εἰς ἀνταλλαγὴν τοῦ βασιλείου αὐτοῦ τοῦ Βοσπόρου. Τὰ νομίσματα αὐτοῦ, ἅτινα δὲν πρέπει νὰ συγχέωνται πρὸς τὰ τοῦ ἀρχαιοτέρου Πολέμωνος, φέρουσι τὴν *ἐπιγρ.* ΠΟΛΕΜΩΝΟΣ ΒΑΣΙΛΕΩΣ, ῥόπαλον· *ὄπισθ.* [ΟΛΒΕ]ΩΝ ΛΑΛΑΣΕΩΝ ΚΑΙ ΚΕΝΝΑΤΩΝ, ἅρπη (*Z. f. Num.*, 1885, σ. 366).

Ἐν Ὄλβῃ ἐκόπησαν ὡσαύτως αὐτόνομα νομίσματα. *Ἐμπρ.* θρόνος, *ὄπισθ.* κεραυνὸς (*Zeit. f. Num.*, 1885, 369) καὶ *αὐτοκρατορικὰ* — ἀπὸ Ἀντωνίνου τοῦ Εὐσεβοῦς μέχρι Καρακάλλα. *Ἐπιγρ.* ΟΛΒΕΩΝ, ἢ ΑΔ[ΡΙΑΝΩΝ] ΑΝΤΩΝΙΝΙΑΝΩΝ ΟΛΒΕΩΝ,

ἐνίοτε τῇ προσθήκῃ τῆς ἐπιγραφῆς ΜΗΤ[ΡΟΠΟΛΕΩΣ]ΚΗ[ΤΙΔΟΣ] ἀποδεικνυούσης, ὅτι ἡ Ὄλβασα τοῦ Πτολεμαίου (V. 8), πρωτεύουσα τοῦ διαμερίσματος Κήτιδος, ἦτο ἡ αὐτὴ πρὸς τὴν Ὄλβην τοῦ Στράβωνος. *Τύποι* — Ζεύς, Σέραπις, πῖλοι τῶν Διοσκούρων.

Ὅλμοι, ἐπὶ τοῦ πρὸς δυσμὰς τοῦ ἀκρωτηρίου Σαρπηδόνος κόλπου. Οἱ κάτοικοι τῆς πόλεως ταύτης μετεκομίσθησαν ὑπὸ Σελεύκου εἰς τὴν νέαν αὐτοῦ πόλιν Σελεύκειαν τὴν πρὸς τῷ Καλυκάδνῳ. Ὁ Leake ἀπένειμε τοῖς Ὅλμοις ἀργυροῦν νομισμάτιον τοῦ τετάρτου αἰῶνος π. Χ.

Κεφαλὴ Ἀθηνᾶς δ., ἐν κύκλῳ σφαιριδίων.	ΟΛΜ Κεφαλὴ γυναικεία, δ. Ꝛ ·9 κ.

Πομπηϊόπολις. Ἴδε Σόλους.

Σεβαστή, κτισθεῖσα ὑπὸ Ἀρχελάου, βασιλέως τῆς Καππαδοκίας, ᾧτινι ἔδωκαν οἱ Ῥωμαῖοι Κιλικίαν τὴν Τραχεῖαν. Ἔκειτο δὲ ἐπὶ τῆς στερεᾶς, χωριζομένη διὰ στενοῦ πορθμοῦ ἀπὸ τῆς νησῖδος Ἐλαιούσης (Leake, *Num. Hell., As. Gr.*, σ. 109). Χαλκᾶ μετ' εἰκόνων Ἀντιόχου Δ' βασιλέως τῆς Κομμαγηνῆς καὶ τῆς συζύγου αὐτοῦ Ἰωτάπης, καὶ αὐτόνομα μετ' *ἐπιγραφῆς*, ΣΕΒΑΣΤΗΝΩΝ.

Αὐτοκρατορικά — ἀπὸ Αὐγούστου μέχρις Οὐαλεριανοῦ ἐπιγεγραμμένα CΕΒΑCΤΗC. *Τίτλοι* — ΜΗΤΡΟΠ[ΟΛΕΩC], ΕΛΕΥΘΕΡΑC, ΑΥΤΟΝΟΜΟΥ, ΑCΥΛΟΥ, ΙΕΡΑC ἢ ΝΑΥΑΡΧΙΔΟC. Ἄνευ ἀξιομνημονεύτων τύπων.

Σελεύκεια πρὸς τῷ Καλυκάδνῳ κτισθεῖσα ὑπὸ Σελεύκου τοῦ Α'. Αὐτόνομα χαλκᾶ νομίσματα τοῦ πρώτου αἰῶνος π. Χ. *Ἐπιγρ.*, ΣΕΛΕΥΚΕΩΝ ΤΩΝ ΠΡΟΣ ΤΩΙ ΚΑΛΥΚΑΔΝΩΙ, κεφαλὴ Ἀθηνᾶς, *ὄπισθ.* Νίκη, κτλ.· κεφαλὴ Ἀπόλλωνος ἔχουσα τὴν κόμην εἰς τυπικοὺς πλοκάμους διατεταγμένην ὡς ἐπὶ τῶν νομισμάτων τῆς Λυκίας, *ὄπισθ.*, πρόσθιον ἵππου. *Αὐτοκρατορικά* — ἀπὸ Τιβερίου μέχρι

Γαλλιηνοῦ. Ὁμοία *ἐπιγρ.*, προστιθεμένων συνήθως τῶν τίτλων ΑC[Υ]ΛΟΥ] ΑΥΤ[ΟΝΟΜΟΥ] ἢ ΕΛΕΥΘΕΡΑC. Μεταξὺ τῶν ὀνομάτων τῶν ἀρχόντων ἀπαντᾷ τὸ τοῦ Ξενάρχου (ΞΕΝΑΡΧΟΥ) τοῦ περιπατητικοῦ φιλοσόφου τῆς ἐποχῆς τοῦ Αὐγούστου. *Κύριοι τύποι* — Ἀθηνᾶ ἱσταμένη ἢ ἐπὶ τεθρίππου, καταβάλλουσα γίγαντας (*Zeit. f. Num.*, XIII, Πίν. IV, 10, 11)· Νίκη· προτομαὶ ἀντιμέτωποι Τύχης καὶ Ἀπόλλωνος (;), κτλ.

Σελεύκεια πρὸς τῷ Πυράμῳ ὄνομα ἐπὶ βραχὺ τῆς Μόψου Ἑστίας.

Σελινοῦς, πόλις παράλιος Κιλικίας τῆς Τραχείας ὀλίγα μίλια πρὸς νότον τῆς Ἰωτάπης. *Αὐτοκρατορικά* — Λουκίλλης, Σεπτ. Σεουήρου, Σεουήρου Ἀλεξάνδρου, καὶ Φιλίππου Α΄. *Ἐπιγρ.*, CΕΛΙΝΟΥCΙΩΝ καὶ ΤΡΑΙΑΝΟ. CΕΛΙΝΟ. ΤΗC ΙΕΡΑC. *Τύποι* — Ἄρτεμις κυνηγέτις καὶ ναός, ἐπὶ τοῦ ἀετώματος τοῦ ὁποίου γέγραπται ΘΕΟΥ ΤΡΑ. εἰς μνήμην τοῦ Τραϊανοῦ, τελευτήσαντος ἐν Σελινοῦντι.

Σόλοι, Ἑλληνικὴ παραθαλασσία πόλις περὶ τὰ εἴκοσι πέντε μίλια νοτιοδυτικῶς τῆς Ταρσοῦ. Τὰ ἀργυρᾶ αὐτῆς νομίσματα εἶνε κοινὰ καὶ χρονολογοῦνται ἀπὸ τοῦ πέμπτου περίπου αἰῶνος π. Χ. μέχρι τῆς ἐποχῆς τοῦ Ἀλεξάνδρου.

Περσικὸς σταθμητικὸς κανών. Περὶ τὰ 450-385 π. Χ.

Τοξότης γονατίζων φέρων τὸ σύνηθες τῶν τοξοτῶν ἔνδυμα, κρατῶν δὲ δι' ἀμφοτέρων τῶν χειρῶν τόξον.	ΣΟ, ΣΟΛΕΟΝ, ΣΟΛΕΩΝ, Σταφυλὴ ἐν τετραγώνῳ ἐγκοίλῳ. . . . . AR Στατὴρ 169 κ.
Κεφαλὴ Ἀθηνᾶς· γρὺψ δὲ ἐπὶ τοῦ κράνους. (Hunter, Πίν. LI. 27. 29.)	ΣΟΛΙ, ΣΟΛΙΟ, ΣΟΛΙΟΝ, ΣΟΛΙΚΟΝ ἢ ΣΟΛΕΩΝ Σταφυλὴ ἐν τετραγώνῳ ἐγκοίλῳ . . . . . . AR Στατὴρ 163 [1] κ. AR Ὀβολ. 10 κ.

1) Ἂν πρέπει νὰ βασισθῇ τις εἰς τὸν κατάλογον τῆς συλλογῆς Behr ὑπάρχει ὡσαύτως διπλοῦς στατὴρ 316 κόκκων.

Περὶ τῶν ἀργυρῶν στατήρων τῶν ἐν Σόλοις ὑπὸ τοῦ σατράπου Τιριβάζου κοπέντων (386-380 π. Χ.), μετὰ τοῦ ὀνόματος αὐτοῦ γράμμασιν Ἀραμαϊκοῖς ἐπὶ τῆς ὀπισθίας ὄψεως καὶ ΣΟ ἐπὶ τῆς ἐμπροσθίας, ἴδε σελ. 288.

Περὶ τὰ 385-333 π. Χ.

Κεφαλὴ Ἡρακλέους πωγωνοφόρου δαφνοστεφής, μετὰ λεοντῆς περὶ τὸν τράχηλον.	ΣΟΛΕ...., ΣΟΛΙΚΟΝ Κεφαλὴ σατράπου πωγωνοφόρου μετὰ τιάρας Περσικῆς. . Ꝛ Στατὴρ 156 κ.
Κεφαλὴ Ἀθηνᾶς κρανοφόρος, ἀντωπός.	Ζεὺς ἐπὶ θρόνου πρὸς ἀρ. μετὰ σκήπτρου. Ἐν τῷ πεδίῳ σταφυλή, στάχυς καὶ γράμμα Β. Ὑπὸ τὸν θρόνον Σ ἢ Σ̊ . . . . Ꝛ Στατὴρ 168-164 κ.

Τὰ νομίσματα τῆς τελευταίας μνημονευθείσης κλάσεως κατετάχθησαν ἐπὶ τῇ βάσει τῶν ὑπὸ τὸν θρόνον γραμμάτων Μ, Τ, Ι καὶ Σ τῇ Μαλλῷ, Ταρσῷ, Ἰσσῷ καὶ Σόλοις. Πάντα δὲ φαίνονται ἀνήκοντα εἰς τὴν μεταξὺ τοῦ 370 καὶ 350 π. Χ. περίοδον.

Κεφαλὴ Ἀθηνᾶς μετὰ κράνους Κορινθιακοῦ λοφωτοῦ.	ΣΟΛΕΩΝ Σταφυλή. Ἐν τῷ πεδίῳ, ὄνομα ἄρχοντος συντετμημένον καὶ *σύμβολα*—ῥόδον, γλαῦξ, κτλ. . . Ꝛ Στατὴρ 164 κ.

Περὶ τὰ 300-71 π. Χ.

Ἡ εἰς χαλκὸν νομισματοκοπία τῶν Σόλων ἐξηκολούθησεν ὑπὸ τοὺς Σελευκίδας μέχρι τοῦ χρόνου τῆς καταστροφῆς τῆς πόλεως ὑπὸ Τιγράνους βασιλέως τῆς Ἀρμενίας κατὰ τὸν τρίτον Μιθριδατικὸν πόλεμον.

Αἱ ἑξῆς εἶνε οἱ κυριώταται ποικιλίαι:—

Αἰγὶς μετὰ κεφαλῆς Μεδούσης.	ΣΟΛΕΩΝ	Πυργοστεφὴς γυναικεία μορφὴ ἔφιππος . Æ 1·0
Κεφαλὴ Ἀρτέμιδος.	»	Ἀθηνᾶ κεραυνὸν κραδαίνουσα . . . . . Æ ·9
Κεφαλὴ Ἀθηνᾶς.	»	Μορφὴ ἱσταμένη, σκῆπτρον κρατοῦσα . Æ ·8

Κεφαλὴ Ἀθηνᾶς.	ΣΟΛΕΩΝ Γλαῦξ. . . . . Æ ·8
Κεφαλὴ Τύχης.	» Πῖλοι τῶν Διοσκούρων. . Æ ·8

Οὐχὶ μακρὸν μετὰ τὴν καταστροφὴν αὐτῶν οἱ Σόλοι ἀνηγέρθησαν ὑπὸ τοῦ Πομπηΐου ὑπὸ τὸ ὄνομα Σολόπολις. Ὑπάρχουσι χαλκᾶ νομίσματα μετὰ τῆς κεφαλῆς τοῦ Πομπηΐου, *ἐπιγρ.*, ΣΟΛΟΠΟΛΕΙΤΩΝ. Ταχέως δὲ κατόπιν μετωνομάσθη Πομπηϊόπολις. Τὸ χρονολογικὸν σύστημα ἄρχεται ἀπὸ τοῦ 67 π. Χ. *Ἐπιγρ.*, ΠΟΜΠΗΙΟΠΟΛΕΙΤΩΝ, κεφαλὴ τοῦ Πομπηΐου, *ὄπισθ.* Ἀθηνᾶ ἢ Νίκη. *Αὐτοκρατορικὰ*—ἀπὸ Δομιτιανοῦ μέχρι Τριβ. Γάλλου, μετὰ ἢ ἄνευ κεφαλῆς αὐτοκράτορος. *Ἐπιγρ.*, ΠΟΜΠΗΙΟΠΟΛΕΙΤΩΝ, ἐπίσης προσθέτως ΣΕΒΑΣΤΩΝ ΟΜΟΝΟΙΑ (Concordia Augg. Αὐρηλίου καὶ Οὐήρου). ΠΗΓΗ ΣΟΥΝΙΑΣ, ἡ πηγὴ Σουνίας κατακειμένη, κρατοῦσα δὲ κέρας Ἀμαλθείας. Προτομὴ τοῦ φιλοσόφου Χρυσίππου, μετὰ χειρὸς θωπευούσης τὸν πώγωνα, *ὄπισθ.*, προτομὴ τοῦ ποιητοῦ Ἀράτου(;), ἀμφοτέρων γεννηθέντων ἐν Σόλοις. Πρὸς δὲ καὶ ἄλλοι τύποι ἄνευ ἰδιαιτέρου τινὸς ἐνδιαφέροντος.

Σύεδρα, ἐπὶ τῆς ἀκτῆς Κιλικίας τῆς Τραχείας παρὰ τὰ σύνορα τῆς Παμφυλίας. *Αὐτοκρατορικά*—ἀπὸ Νέρωνος μέχρι Σαλωνίνης. *Ἐπιγρ.*, ΣΥΕΔΡΕΩΝ, ἐνίοτε προσθήκη ΣΕΜΝΗΣ ΕΝΔΟΞΟΤΕΡΑΣ. *Ἀγῶνες*—ΘΕΜΙΔΕΣ (H. de Longpérier, *Rev. Num.*, N. S., XIV. 61), καὶ ΓΥΜΝΑΣΙΑΡΧΙΑ. *Τύποι,* διάφοροι.

Ταρσός, ἐπὶ τοῦ Κύδνου ποταμοῦ, μνημονευομένη τὸ πρῶτον ὑπὸ Ξενοφῶντος ὡς μεγάλη καὶ εὐδαίμων πόλις, ἔνθα ὑπῆρχε καὶ τὸ ἀνάκτορον τοῦ Συεννέσιος, βασιλέως τῆς Κιλικίας. Εἶνε ἀναμφίβολον ὅτι ἐκόπησαν ἐν Ταρσῷ νομίσματα ὑπὸ τῶν βασιλέων ἢ σατραπῶν τῆς Κιλικίας ἀπὸ τῶν ἀρχῶν τοῦ πέμπτου αἰῶνος καὶ ἑξῆς, ὁ δὲ κ. Six (*Num. Chron.*, 1884, σ. 152) ἔχει πιθανῶς δίκαιον ἀποδίδων εἰς τὸ νομισματοκοπεῖον τῆς Ταρσοῦ σειρὰν νομισμάτων, ἣν οἱ νομισματικοὶ μέχρι τοῦδε ἀδιάτακτον κατέλιπον

Αἱ κυριώταται ποικιλίαι ἔχουσιν ὡς ἑξῆς: —

ΗΛΕΚΤΡΟΝ. *Ἕκτος αἰὼν π. Χ. Φοινικικὸς σταθμητικὸς κανών.*

Δάμαλις γονατίζουσα πρὸς δ. καὶ στρεφομένη πρὸς μόσχον θηλαζόμενον παρ' αὐτῆς.	Ἔγκοιλον ἐπίμηκες. ΗΕ ἢ ϘΚ 215 κ.

Ἐὰν ὁ στατὴρ οὗτος, νῦν ἐν τῷ νομισματικῷ Μουσείῳ τοῦ Μονάχου ἀποκείμενος, ὀρθῶς ὑπὸ τοῦ Six ἀπενεμήθη τῇ Ταρσῷ (*Num. Chron.*, 1884. σ. 152), πρέπει νὰ συμπεράνωμεν, ὅτι ὑπῆρχον ἐμπορικαὶ σχέσεις μεταξὺ Ταρσοῦ καὶ Λυδίας ἢ τῶν παραλίων πόλεων τῆς Ἰωνίας.

ΑΡΓΥΡΟΣ. *Περὶ τὰ 500-450 π. Χ. Περσικὸς σταθμητικὸς κανών.*

Δάμαλις ἱσταμένη καὶ στρεφομένη πρὸς μόσχον ὃν θηλάζει. (*Num. Chron*, 1884, Πίν. V. 1.)	Ἡρακλῆς κραδαίνων ῥόπαλον, ἐγείρων δὲ λέοντα ἀπὸ τοῦ ὀπισθίου ποδός. . . . AR Στατὴρ 164 κ.

Βαάνας ἢ **Βαναίας** (;). Νομισματοκοπεῖον, Ταρσός (;).

Περὶ τὰ 450-400 π. Χ.

Ἡρακλῆς μετὰ τόξου καὶ φαρέτρας, ὑψῶν λέοντα ἀπὸ τῆς οὐρᾶς. (De Luynes, *Satrap.*, Πίν. V, 1.)	בענא (μονογράφημα Ἀραμαϊκῶν γραμμάτων). Δάμαλις θηλάζουσα μόσχον . . . AR Στατὴρ 170 κ.
Βασιλεὺς τῆς Περσίας μαχόμενος πρὸς λέοντα. (B. V. Head, *Lydia and Persia*, Πίν. III, 12.)	בענא Δάμαλις θηλάζουσα μόσχον AR Στατὴρ 166 κ.

Ἀνώνυμός τις. Νομισματοκοπεῖον Ταρσοῦ.

Περὶ τὰ 450-400 π. Χ.

Βασιλεὺς τῆς Περσίας τραυματίζων δι' ἀκινάκου λέοντα. (B. V. Head, *ἔνθ. ἀν.* Πίν. III, 11)	ΤΕΡΣΙ καὶ תרז Βασιλεὺς βαδίζων, κρατῶν σκῆπτρον καὶ σταυρὸν ὠτίτην (crux ansata) . . . AR Στατὴρ 168 κ.
Βασιλεὺς ἔφιππος, οὗ κάτω σταυρὸς (*Rev. Num.* 1860, Πίν. XVIII, 5.)	תרז Δύο στρατιῶται ἱστάμενοι ἀντιμέτωποι. . AR Στατὴρ 164 κ.

Βασιλεὺς ἔφιππος, κρατῶν ἄνθος. Πρὸ αὐτοῦ תלת ἢ תרז (B. V. Head, ἔν. ἀ. Πίν. III, 13.)	Τετράγωνον ἔγκοιλον. Τοξότης γονατίζων καὶ τείνων τόξον. Ὄπισθεν, σταυρὸς ὠτίτης (crux ansata) ℞ Στατὴρ 168 κ.
Ὁμοίως. (*Σύμβολον*, κεφαλὴ ἀετοῦ). (De Luynes, *Satrap.*, Πίν. XII.)	Ὁμοίως. (*Σύμβολον*, κεφαλὴ ἀετοῦ) ℞ Στατήρ.
Πρόσθιον Πηγάσου, ἐνίοτε μετὰ *συμβόλου* κεφαλῆς ἀετοῦ.	Ὁμοίως. Μετὰ ἢ ἄνευ κεφαλῆς ἀετοῦ. . . . . ℞ 55 κ. (Imhoof, *Mon. Gr.*, Πίν. G, 6.)
Βασιλεὺς ἔφιππος ἀνορθούμενος πρὸς δ. Πρὸ αὐτοῦ, σταυρὸς ὠτίτης (De Luyn., *Satrap.*, Πίν. VIII, 1)	תרז Ὁπλίτης Ἕλλην γονατιζων, ἀμυνόμενος δὲ δι' ἀσπίδος καὶ δόρατος . . . ℞ Στατὴρ 163 κ.
Ὁμοίως.	Ὁμοίως. . . . . ℞ Τρίτη 50 κ.
Ἱππεὺς γυμνὸς ἐπὶ ἵππου ἀνορθουμένου.	תרז Ὁμοίως. . ℞ Στατὴρ 162 κ.
Ἕλλην ὁπλίτης γονατίζων, μετ' ἀσπίδος καὶ δόρατος. (*Num. Chron*, 1884, Πίν. V, 2.)	Τετράγωνον ἔγκοιλον. Ἱππεὺς γυμνὸς ἐπὶ προτομῆς ἵππου. ℞ 42 κ.
Λέων καταβροχθίζων ταῦρον. (*Num. Chron.* 1884, Πίν. V, 3.)	תרז Στάχυς, ἐν τετραγώνῳ γραμμικῷ. . . . ℞ Στατὴρ 163 κ.

Τέταρτος αἰὼν π. Χ.

Διαρκοῦντος τοῦ πλείστου μέρους τοῦ τετάρτου αἰῶνος, τὰ ἐν Ταρσῷ κοπέντα νομίσματα φέρουσι τὰ ὀνόματα τῶν σατραπῶν, τῶν ἑκάστοτε κυβερνώντων τὴν Κιλικίαν ἢ παρασκευαζόντων ἀπὸ τῶν λιμένων αὐτῆς τὰς διαφόρους ναυτικὰς ἐκστρατείας ἐναντίον τῶν ἐξεγειρομένων ἐπαρχιῶν τοῦ Περσικοῦ κράτους.

Τιρίβαζος. Περὶ τὰ 386 π. Χ. Στατῆρες ἀργυροῖ ὡς οἱ ὑπὸ τὴν Ἰσσὸν περιγραφέντες (σελ. 288), ἀλλὰ διακρινόμενοι διὰ τοῦ γράμματος T, ἀρχικοῦ τοῦ νομισματοκοπείου τῆς Ταρσοῦ. *Ἐπιγρ.*, תריבזו γράμμασιν Ἀραμαϊκοῖς.

Τὸ ἑξῆς νόμισμα τοῦ Τιριβάζου μετὰ Ἑλληνικῆς ἐπιγραφῆς δυνατὸν ἐπίσης νὰ ἐκόπη ἐν Ταρσῷ, ἂν καὶ ἡ ἀγροῖκος αὐτοῦ τεχνοτροπία φαίνεται ὅτι ἐνδεικνύει ἀσημότερόν τι νομισματοκοπεῖον τῆς Κιλικίας.

Κεφαλὴ Ἡρακλέους πωγωνοφόρου μετὰ λεοντῆς περὶ τὸν τράχηλον. | ΤΕΙΡΙΒΑΣΟΥ Κεφαλὴ σατράπου, ὡς ἐπὶ τῶν νομισμάτων τῶν Σόλων . . . . Ꝛ Στατὴρ 152 κ.

Ὀρόντας. Περὶ τὰ 386 π. Χ.

Ἕλλην ὁπλίτης γονατίζων, ἀμυνόμενος δὲ δι' ἀσπίδος καὶ δόρατος Σῆμα νομισματοκοπείου Τ. | ΟΡΟΝΤΑ Πρόσθιον κάπρου πτερωτοῦ . . . . Ꝛ 43 κ. (Ἐν τῷ Βρεταν. Μουσείῳ).

Ἐν τούτοις τὰ νομίσματα ταῦτα δύνανται ὡσαύτως νὰ ἀπονεμηθῶσιν εἰς τὰς ἐν Ἰωνίᾳ Κλαζομενὰς ἐπὶ τῇ βάσει τοῦ ὀπισθοτύπου. (Ἴδε σελ. 116.)

Φαρνάβαζος. Περὶ τὰ 378-372 π. Χ. Τὰ ἐν Κιλικίᾳ ἐν ὀνόματι τοῦ σατράπου τούτου κοπέντα νομίσματα ἀπενεμήθησαν ὑπὸ τοῦ Waddington (*Mél.* σ. 65) εἰς τὸν χρόνον, ὅτε παρεσκεύαζε τὴν κατὰ τῆς Αἰγύπτου ἐκστρατείαν αὐτοῦ.

Κεφαλὴ Ἀρεθούσης μετὰ λυτῆς κόμης, ἀντιγεγραμμένη ἀπὸ τῶν νομισμάτων τῶν Συρακουσῶν. | פרנבזו חלך Κεφαλὴ Ἄρεως (;) πωγωνοφόρου μετὰ κράνους λοφωτοῦ. (*Num. Chron.*, 1884, Πίν. V. 6.) Ꝛ Στατήρ.

Ὁμοίως. (Waddington, *Mél.*, Πίν. V. 4.) | ΚΙΛΙΚΙΟΝ חלך Κεφαλὴ Ἄρεως (;) Ꝛ Στατὴρ 163 κ.

פרנבזו חלך Κεφαλὴ Ἄρεως (;) κρανοφόρος. (*Num. Chron.*, 1884, Πίν. V. 7) | בעלתרז Βααλτάρσιος ἤτοι Ζεὺς τῆς Ταρσοῦ ἐπὶ θρόνου. . . . . . . Ꝛ Στατὴρ 161 κ.

Τάρκαμος (;). Περὶ τὰ 380-360 π. Χ. Οὕτως ἀναγινώσκεται ὑπὸ τοῦ κ. Six (*Num. Chron.*, 1884, σ. 125). Ὁ κ. Waddington ἀναγινώσκει τὸ ὄνομα Δατάμης

Κεφαλὴ Ἀρεθούσης, ὡς ἀνωτέρω. (*Num. Chron.*, 1884, Πίν. V. 8.) | תרכמו Κεφαλὴ Ἄρεως, ὡς ἀνωτέρω. . . Ꝛ Στατὴρ 168 κ.

בעלתרז Βαὰλ καθήμενος ἐπὶ θρόνου ἐν κύκλῳ πυργίσκων, κρατῶν σκῆπτρον, σταφυλὴν καὶ στάχυς· παρ' αὐτῷ δὲ θυμιατήριον. | » Σατράπης καθήμενος, κρατῶν βέλος, ἐν τῷ πεδίῳ τόξον, ἄνω δὲ Ὁρμούσδης (*Num. Chron.*, 1884, Πίν. V. 9.). Ꝛ Στατ. 163 κ.

בעלתרז Βαάλ καθήμενος ἐπὶ θρόνου ἐν κύκλῳ πυργίσκων, κρατῶν σκῆπτρον σταφυλὴν καὶ στάχυς· παρ αὐτῷ θυμιατήριον. (*Πίναξ ΚΖ'. 3.*)	תרכמו Δύο ἀνδρικαὶ μορφαί, ὧν ἡ μὲν γυμνή, ἡ δὲ ἐνδεδυμένη, ἱστάμεναι ἀντιμέτωποι μετὰ θυμιατηρίου ἐν μέσῳ αὐτῶν . . . . . ℞ Στατὴρ 169 κ.

Ἀνώνυμος. Νομισματοκοπεῖον, Ταρσός. Περὶ τὰ 370-350 π. Χ.

Κεφαλὴ Ἀθηνᾶς ἀντωπός, μετὰ τριλόφου περικεφαλαίας. (*Num. Chron.*, 1884, Πίν. VI. 4.)	Βααλτάρσιος ἐπὶ θρόνου. Ἐν τῷ πεδίῳ στάχυς, σταφυλή, φύλλον κισσοῦ, κτλ. Ὑπὸ δὲ τὸν θρόνον Τ (Σῆμα τοῦ νομισματοκοπείου τῆς Ταρσοῦ) . . ℞ Στατὴρ 168 κ.

Παράβαλε ἕτερα ὁμοιότυπα νομίσματα κοπέντα ἐν Ἰσσῷ, Μαλλῷ καὶ Σόλοις.

Ἀθηνᾶ καθημένη μετὰ δόρατος καὶ ἀσπίδος· ὄπισθεν αὐτῆς, δένδρον. (*Zeit. f. Num.*, VII. σ. 13.)	ΤΕΡΣΙΚΟΝ Νύμφη γονατίζουσα, παίζουσα δὲ μετ' ἀστραγάλων. . ℞ Στατὴρ 156 κ.
Ἡρακλῆς γονατίζων ἐπὶ τοῦ ῥοπάλου του, ἄγχων δὲ λέοντα. (De Luynes, *Satr.*, Πίν. XI.)	ΤΕΡΣΙΚΟΝ Κεφαλὴ Ἀφροδίτης, φέρουσα πόλον . . . . ℞ Στατὴρ 163 κ.

Μαζαῖος. Περι τὰ 362 - 328 π. Χ. Περὶ τῆς ἱστορίας τοῦ σατράπου τούτου ἴδε τὸ ἤδη μνημονευθὲν ἄρθρον τοῦ κ. Six. Οὗτος ἐκυβέρνα τὴν Κιλικίαν πλέον τῶν τριάκοντα ἐτῶν, ἦτο δὲ ἐπίσης σατράπης ἐπὶ δέκα περίπου ἐνιαυτοὺς τῆς βορείου Συρίας, πρὸς δυσμὰς τοῦ Εὐφράτου, τῆς χώρας καλουμένης Ἑβὲρ-ναχὰρ (= ἡ πέραν τοῦ ποταμοῦ: Transpotamia) πρὸς διάκρισιν ἀπὸ τῆς Μεσοποταμίας. Ὅτε δὲ ὁ Ἀλέξανδρος ἐβάδιζε κατὰ τῆς Βαβυλῶνος, ὁ Μαζαῖος ἤνοιξεν αὐτῷ τὰς πύλας τῆς πόλεως διὸ διετήρησε τὴν διοίκησιν τῆς Βαβυλῶνος ὑπὸ τὸν Ἀλέξανδρον μέχρι τοῦ ἐν ἔτει 328 π. Χ. θανάτου τούτου. Τὰ νομίσματα τοῦ Μαζαίου δύνανται χάριν εὐκολίας νὰ περιγραφῶσι πάντα ὑπὸ τὴν Ταρσόν, ἔνθα, ἢ ἐν πάσει περιπτώσει ἐν Κιλικίᾳ, φαίνεται ὅτι ἐκόπησαν τὰ πλεῖστα

ἐξ αὐτῶν. Τὰ νομίσματα μερίζονται εἰς τὰς ἑξῆς κλάσεις: —

Κιλικικὸν κόμμα

בעלתרז Βααλτάρσιος ἐπὶ θρόνου. (*Πίναξ ΚΖ'. 4*)	מזדי Λέων καταβροχθίζων ἔλαφον ℞ Στατὴρ 169 κ.
» Ὁμοίως. (*Num. Chron.*, 1884, Πίν. V. 13, 14.)	» Λέων καταβροχθίζων ἔλαφον ℞ Στατὴρ 167 κ.
» Ὁμοίως (*Αὐτόθι*. Πίν. VI. 2.)	Ἄνευ ἐπιγραφῆς. Λέων καταβροχθίζων ταῦρον, οὗ κάτω τὰ πυργοστεφῆ τείχη πόλεως. Ἐν τῷ πεδίῳ, ρόπαλον. ℞ Στατὴρ 172 κ.

Τὰ τελευταῖα μνημονευθέντα νομίσματα φέρουσιν ὑπὸ τὸν θρόνον τὰ νομισματοκοπείων γράμματα Ι, Μ, Σ, ἢ Τ, δηλοῦντα τὴν Ἰσσόν, Μαλλόν, Σόλους καὶ Ταρσόν.

כעלתרז Βααλτὰρς ἐπὶ θρόνου (*Πίναξ ΚΖ'. 5.*)	מזדי זי על עברנהרא ו הלך = « Μαζαῖος ὁ ἐπὶ τῆς Ἐβὲρ-ναχάρας καὶ Κιλικίας». Λέων καταβροχθίζων ταῦρον ὑπεράνω τειχῶν πόλεως. . . . ℞ Στατὴρ 171 κ.

Ἡ ἐπιγραφὴ τῶν σπουδαίων τούτων νομισμάτων ἡρμηνεύθη τὸ πρῶτον ὀρθῶς ὑπὸ τοῦ κ. Halévy (*Mélanges d' Epigr. Sémitique*, 1874, σ. 64-71).

כעלתרז Βααλτάρσιος ἐπὶ θρόνου. (*Num. Chron.*, 1884, Πίν. VI. 5.)	מזדי Λέων βαδίζων· ἐνίοτε *σύμβολα* μήνη καὶ ἀστήρ. ℞ 165 κ.

Τὰ ἐν Ταρσῷ κοπέντα νομίσματα τοῦ Μαζαίου ἀκολουθοῦνται ὑπὸ στατήρων φερόντων τὸ ὄνομα τοῦ Ἀλεξάνδρου γράμμασιν Ἀραμαϊκοῖς.

Βααλτάρσιος ἐπὶ θρόνου· ὄπισθεν αὐτοῦ אלכסנדר. (*Cat. Behr*, Πίν. II. 1.)	Ἡ θεὰ Ἀτὲχ πεπλοφόρος, καθημένη ἐπὶ λέοντος· ὄπισθεν עתה, ὑπεράνω מ. . . . . . ℞ 123 κ.
Κεφαλὴ θεᾶς, ὄπισθεν עתהמ. (De Luynes, *Satr.*, Πίν. XVI. 1)	Λέων σπαράσσων ταῦρον· ὑπεράνω אלכסנדר . . . . . ℞ 127 κ.

Ταῦτα δὲ μετὰ βραχὺ χρονικὸν διάστημα ἀντικατεστάθησαν ὑπὸ τῶν συνήθων νομισμάτων τοῦ Ἀλεξάνδρου (Müller ἀρ. 1279 κ.ἑξ.) Ἐν τούτοις ἡ κατάταξις αὐτῶν εἰς τὴν Ταρσὸν πολὺ ἀπέχει τῆς βεβαιότητος.

Συριακὸν κόμμα. Φοινικικὸς σταθμητικὸς κανών.

Τριήρης ἐπὶ κυμάτων μετὰ ἐρετῶν, ὑπεράνω χρονολογίαι δηλοῦσαι τὰ ἔτη 19, 20 καὶ 21 τοῦ Ωχου (341-339 π. Χ.) καὶ τὰ ἔτη 1 καὶ 2 τοῦ Ἀρσῆ (338-337 π.Χ.) (*Num. Chron.*, 1884, Πίν.VI. 11, 12.)	מזדי Βασιλεὺς ἐπὶ ἁμάξης ἐλαυνομένης ὑπὸ ἡνιόχου. Ὄπισθεν δὲ ἀκόλουθος μετ' ἀσιατικοῦ ἐνδύματος. **R** Φοινικ. ὀκτάδραχ. 400 κ.

Οἱ τύποι τῶν νομισμάτων τούτων εἶνε οἱ τῶν πασιγνώστων μεγάλων Φοινικικῶν νομισμάτων τῶν κυκλοφορούντων εἰς τὰς ναυτικὰς πόλεις τῆς Φοινικικῆς παραλίας ἀπὸ τῆς ἐν ἔτει 424 π. Χ. ἀρχῆς τῆς βασιλείας Δαρείου τοῦ Β'.

Ἀπομιμήσεις τῶν Ἀθηναϊκῶν τετραδράχμων,
περὶ τὰ 328-331 π. Χ.

Κεφαλὴ Ἀθηνᾶς ἠμελημένης τεχνοτροπίας. (*Num. Chron.*, 1884, Πίν. VI. 10)	מזדי Ἀθηναϊκὴ γλαῦξ. **R**[1] Ἀττικ. τετράδρ.

Τὰ ἀντίγραφα ταῦτα Ἀττικῶν τετραδράχμων ἐκόπησαν πιθανῶς πρὸς πληρωμὴν τῶν Ἑλλήνων καὶ ἄλλων μισθοφόρων τῶν παρὰ Μαζαίου συναθροισθέντων κατὰ τὴν διάρκειαν τῶν τελευταίων ἀποπειρῶν τῶν Περσῶν πρὸς ἀπόκρουσιν τοῦ προχωροῦντος Ἀλεξάνδρου.

Τετράδραχμα Ἀττικοῦ σταθμοῦ, ἀλλὰ μετὰ Περσικῶν τύπων, κοπέντα πιθανῶς ἐν Βαβυλῶνι μεταξὺ τοῦ 331 καὶ 328 π. Χ., ἐπὶ τῆς ἀρχῆς τοῦ Μαζαίου.

בעלתרז Βααλτάρσιος ἐπὶ θρόνου. (*Πίναξ ΚΖ'. 6.*)	מזדי Λέων βαδίζων . . . . **R** Ἀττικ. τετράδρ.
Ἀνεπίγραφον. Ὁμοίως. (*Num. Chron.*, Πίν. VI. 8.)	Ἀνεπίγραφον. Ὁμοίως . . . . . **R** Ἀττικ. τετράδρ. καὶ κλάσματα.

Ἐπὶ τῶν ἀνωνύμων νομισμάτων τῆς σειρᾶς ταύτης αἱ Ἀραμαϊκαὶ ἐπιγραφαὶ ἀντικαθίστανται διὰ Ἑλληνικῶν γραμμάτων, μονογραφημάτων καὶ συμβόλων, τέλος δ' ἐμφανίζεται ἡ ἄγκυρα, τὸ γνωστὸν σύμβολον τοῦ Σελεύκου, ὑπεράνω τοῦ λέοντος τῆς ὀπισθίας ὄψεως τοῦ νομίσματος (*Num. Chron.*, 1884, Πίν. VI. 7). Τοῦτο δ' εἶνε πολυτιμοτάτη χρονολογικὴ ἔνδειξις ἥτις ἀποδεικνύει, ἐὰν ἦτο χρεία πλειόνων τεκμηρίων, ὅτι τὰ λεοντοφόρα ταῦτα τετράδραχμα ἐξηκολούθουν ἐκδιδόμενα συγχρόνως τοῖς μετ' Ἀλεξανδρείων τύπων τετραδράχμοις. Κατάλογον πασῶν τῶν γνωστῶν ποικιλιῶν ἴδε παρὰ Imhoof (*Mon. Cr.*, σ. 377). Ἄξιον δ' εἶνε σημειώσεως ὅτι ἡ κατασκευὴ τῶν λεοντοφόρων τετραδράχμων ὁμοιάζει τὴν τῶν χρυσῶν διπλῶν δαρεικῶν (ὡς ὄντων ἀμφοτέρων παχυτάτων μετὰ στεφάνης σφυρηλάτου). Τὰ πλεῖστα τῶν σωζομένων παραδειγμάτων ἀμφοτέρων τῶν κλάσεων τῶν νομισμάτων προέρχονται ἐξ Ἰνδιῶν. Ἡ *προέλευσις* δ' αὕτη, ὑποστηρίζει πληρέστατα τὸν ἰσχυρισμὸν ὅτι ταῦτα ἐκόπησαν ἐν Βαβυλῶνι.

Ἃς ἐπανέλθωμεν νῦν εἰς τὴν Ταρσὸν καὶ ἂς ἐξετάσωμεν συντόμως τὴν νομισματικὴν ἱστορίαν τῆς πόλεως ἀπὸ τῶν χρόνων τοῦ Ἀλεξάνδρου καὶ ἐντεῦθεν.

Ὑπὸ τοὺς Σελευκίδας βασιλεῖς, τοὺς ἀπὸ Ἀντιόχου Ζ' μέχρις Ἀντιόχου Θ', ἡ Ταρσὸς ἦτο ἓν τῶν βασιλικῶν νομισματοκοπείων τῶν ἐκδιδόντων τετράδραχμα (B. M. Cat. *Seleuc.*, κλπ.). Ὑπάρχουσιν ὡσαύτως αὐτόνομα χαλκᾶ νομίσματα ἀνερχόμενα μέχρι τῶν Ῥωμαϊκῶν καὶ *αὐτοκρατορικῶν χρόνων*. Αἱ *ἐπιγραφαὶ* εἶνε **ΤΑΡΣΕΩΝ**, **ΤΑΡΣΕΩΝ ΜΗΤΡΟΠΟΛΕΩΣ**, **ΤΑΡΣΕΩΝ ΤΩΝ ΠΡΟΣ ΤΩΙ ΚΥΔΝΩΙ** καὶ **ΑΝΤΙΟΧΕΩΝ ΤΩΝ ΠΡΟΣ ΤΩΙ ΚΥΔΝΩΙ**, τῆς Ταρσοῦ φερούσης ἐπὶ βραχὺ τὸ ὄνομα Ἀντιόχεια πρὸς τῷ Κύδνῳ ἐπὶ Ἀντιόχου τοῦ Δ, βασιλέως τῆς Συρίας. Αἱ μεταγενέστεροι ἐκδόσεις φέρουσι **ΤΑΡϹΟΥ ΜΗΤΡΟΠΟΛΕΩϹ**, *ὀπισθ.* **ΚΟΙΝΟΝ ΚΙΛΙΚΙΑϹ· ΑΔΡΙΑΝΩΝ ΤΑΡϹΕΩΝ**, **ΑΔΡΙΑΝΗϹ ΤΑΡϹΟΥ**, **ΑΔΡΙΑΝΗ ΚΟΜΟΔΙΑΝΗ ΤΑΡϹΟϹ ΜΗΤΡΟΠΟΛΙϹ**, κτλ. Ὀνόματα ἀρχόντων, ἄνευ

τίτλων, προτασσομένης τῆς ΕΠΙ. *Οἱ κύριοι τύποι* εἶνε ἡ Τύχη τῆς Ταρσοῦ καθημένη σὺν τῷ ποταμῷ Κύδνῳ νηχομένῳ παρὰ τοὺς πόδας αὐτῆς· Ζεὺς Τάρσιος, ὅπερ εἶνε μετάφρασις ἑλληνικὴ τοῦ ἀρχαίου *Βααλτάρς*, καθήμενος ἐπὶ θρόνου· Κεφαλὴ Τύχης πυργοστεφής, πρὸς δὲ μορφὴ θεότητος, περὶ ἧς ὑποτίθεται ὅτι παριστᾷ τὸν Σάνδητα *(Σανδάν)*, ἤτοι Ἀσιατικὸν Ἡρακλέα, ἱστάμενον ἐπὶ τῶν νώτων λέοντος κερασφόρου, τῆς ὅλης παραστάσεως οὔσης ἐνίοτε ἐν μνημείῳ πυραμιδοειδεῖ. Ἐκ τῶν *αὐτοκρατορικῶν νομισμάτων* — ἀπὸ Αὐγούστου μέχρι Σαλωνίνης — σημειωτέοι πρὸ πάντων οἱ ἑξῆς τύποι καὶ ἐπιγραφαί:—

Ἀγῶνες — ΚΟΜΟΔΕΙΟΣ ΟΙΚΟΥΜΕΝΙΚΟΣ, ΘΕΟΓΑΜΙΑ — ΟΛΥΜΠΙΑ — ΔΗΜΗΤΡΙΑ· ἐπίσης ΕΝ ΚΟΔΡΙΓΑΙΣ ΟΡΟΙΣ ΚΙΛΙΚΩΝ, ΣΕΥΗΡΕΙΑ ΟΛΥΜΠΙΑ ΕΠΙΝΕΙΚΙΑ. Περὶ τῆς κώμης τῶν Κοδριγῶν, ἔνθα οἱ ἀγῶνες οὗτοι ἐτελοῦντο, ἴδε Eckhel, III. 79. ΚΟΡΑΙΑ, ΚΟΙΝΟΙ ΚΙΛΙΚΙΑΣ, ΤΑΡΣΟΥ ΜΗΤΡΟΠΟΛΕΩΣ, ΚΟΙΝΟΝ ΤΩΝ ΚΙΛΙΚΩΝ, ΙΣΑΥΡΙΑ ΚΑΡΙΑ ΛΥΚΑΟΝΙΑ, ΚΟΙΝΟΣ ΤΩΝ Γ ΕΠΑΡΧΕΙΩΝ (*Ann. de Num.*, VII .21) ἢ ΤΩΝ ΤΡΙΩΝ ΕΠΑΡΧΙΩΝ.

Τιμητικοὶ τίτλοι — ΜΗΤΡΟΠΟΛΙΣ ΤΩΝ ΚΙΛΙΚΩΝ· ΝΕΩΚΟΡΟΣ. ΕΛΕΥΘΕΡΑ· Α. Μ. Κ. Γ. Β. *(=πρώτη μεγίστη καλλίστη γράμματι βουλῆς)*. Ἐπίθετα πρὸς τιμὴν τῶν αὐτοκρατόρων, ΚΟΜΟΔΙΑΝΗ, ΣΕΥΗΡΙΑΝΗ, ΑΝΤΩΝΕΙΝΙΑΝΗ, ΜΑΚΡΕΙΝΙΑΝΗ, ΑΛΕΞΑΝΔΡΙΗ, κτλ.

Θεότητες — ΔΙΟΣ ΤΑΡΣΕΩΝ, ΤΥΧΗ ΤΑΡΣΟΥ, ΠΑΛΛΑΣ ΑΘΗΝΗ, ΚΥΔΝΟΣ, ὁ ποταμὸς Κύδνος.

Διάφορα — ΚΟΙΝΟΒΟΥΛΙΟΝ (Eckhel, III, 73)· ΚΟΡΟΙ ΣΕΒΑΣΤΟΙ (Καρακάλλας καὶ Γέτας)· ΣΕΙΤΟΣ παρὰ πλοῖον πλησίστιον (Eckh· III. 73)· ΟΡΤΥΓΟΘΗΡΑ, παρὰ τύπον Τύχης καθημένης ἂν καὶ ἄνευ σχέσεώς τινος πρὸς τὸν τύπον· ΔΩΡΕΑ ΣΙΤΟΥ, Τριπτόλεμος ἐπὶ ἅρματος δρακόντων (*Ann. de Num.* VII, 19). Οἱ τύποι τῶν αὐτοκρατορικῶν νομισμάτων τῆς Ταρσοῦ παρουσιάζουσι

μεγάλην ποικιλίαν. Πολυάριθμοι ἰδίως εἶνε οἱ ἀναφερόμενοι εἰς τὴν λατρείαν τοῦ Ἡρακλέους. (Ἴδε *Zeit. f. Num.*, III 333 κ. ἑξ. καὶ VIII. 10).

Τιτιόπολις (*Rev. Num*, 1838, σ. 422 καὶ 1883, σ. 37), κειμένη πιθανῶς ἐν τῇ κοιλάδι τοῦ Καλυκάδνου. *Αὐτοκρατορικὰ* Ἀδριανοῦ καὶ Γέτα. *Ἐπιγρ.* ΤΙΤΙΟΠΟΛΕΙΤΩΝ. *Τύποι* — Ζεὺς καθήμενος· Διόνυσος ἱστάμενος μετὰ πάνθηρος.

Φιλαδέλφεια, ἐν τῷ διαμερίσματι τῆς Κητίδος, ἐπὶ τοῦ Καλυκάδνου ποταμοῦ (Πτολεμ. 8 § 5). *Αὐτοκρατορικὰ* — Ἀπὸ Τραϊανοῦ μέχρι Μαξιμίνου. *Ἐπιγρ.*, ΦΙΛΑΔΕΛΦΕΩΝ ΚΗΤΙΔΟΣ. *Τύποι* — Ζεύς ἢ Τύχη (Waddington, *Rev. Num.*, 1883, σ. 35).

Φλαβιόπολις, ἐπὶ τῶν πλευρῶν τοῦ ὄρους Ταύρου, ὑπεράνω τῆς Ἀναζάρβου, λαβοῦσα τὸ ὄνομα αὐτῆς ἀπὸ τοῦ αὐτοκράτορος Οὐεσπασιανοῦ. *Αὐτοκρατορικὰ* νομίσματα εἶνε γνωστὰ ἀπὸ Δομιτιανοῦ μέχρις Οὐαλεριανοῦ. *Ἐπιγρ.*, ΦΛΑΟΥΙΠΟΛΕΙΤΩΝ. Χρονολογικὸν σύστημα ἀρχόμενον ἀπὸ τοῦ 74 μ. Χ. *Τύποι* — Προτομαὶ τῶν Διοσκούρων ἀντιμέτωποι· κεφαλαὶ Σεράπιδος καὶ Ἴσιδος· Τύχη καθημένη μετὰ ποταμίου θεοῦ νηχομένου παρὰ τοὺς πόδας αὐτῆς, κτλ.

ΝΗΣΟΙ ΠΑΡΑ ΤΗι ΚΙΛΙΚΙΑι

Ἐλαιοῦσα, μικρὰ νῆσος χωριζομένη διὰ στενοῦ πορθμοῦ ἀπὸ τῆς ἐπὶ τῆς ἠπείρου πόλεως Σεβαστῆς. Αὐτόνομα αὐτοκρατορικῶν χρόνων πρὸς δὲ *αὐτοκρατορικὰ* τοῦ Κομμόδου. *Ἐπιγρ.*, ΕΛΑΙΟΥΣΙΩΝ. *Τύποι* — Κεφαλὴ Διός, *ὄπισθ.* Νίκη· κεφαλὴ Τύχης, *ὄπισθ.* Ἑρμῆς.

ΒΑΣΙΛΕΙΣ

Ταρκονδίμοτος Α΄, βασιλεὺς μέρους τῆς Κιλικίας ἐν τοῖς χρόνοις τοῦ Πομπηίου, φονευθεὶς ἐν τῇ ἐν ἔτει 31 π. Χ. ναυμαχία τοῦ Ἀκτίου.

Κεφαλὴ βασιλέως.	ΒΑΣΙΛΕΩΣ ΤΑΡΚΟΝΔΙΜΟΤΟΥ. Κάτωθι δέ, Λ. ΑΝΤΩΝΙΟΥ. Ζεὺς καθήμενος . . . . Æ ·9

Φιλοπάτωρ, υἱὸς τοῦ Ταρκονδιμότου, διαδεχθεὶς αὐτόν.

Κεφαλὴ γυναικεία πυργοστεφής, πεπλοφόρος.	ΒΑCΙΛΕΩC ΦΙΛΟΠΑΤΟΡΟC Ἀθηνᾶ ἱσταμένη. . . . . . . Æ ·9

Περὶ τῶν ἀσήμων τούτων βασιλέων ἴδε Eckhel, III. 82 κ. ἑξ.

Χρονολογικος πιναξ των νομισματων της Κιλικιας

	600-450 π. Χ.	450-380 π. Χ	380-333 π. Χ.	333 - 67 π. Χ.	67 π. Χ.-Ῥωμαϊκ. χρόνων	Αὐτοκρ. χρόνοι
Ἀγχιάλη(;)	...	...	...	...	...	Æ
Ἄδανα	...	...	...	...	...	Æ
Αἰγαὶ	...	...	...	...	Æ	AR Æ
Ἀλεξάνδρεια κατ' Ἴσσον	...	...	..	. .	Æ	Æ
Ἀνάζαρβος	...	...	...	...	...	Æ
Ἀνεμούριον	...	...	...	...	...	Æ
Ἀντιόχεια πρὸς τῷ Κύδνῳ	...	...	...	Æ	-	
Ἀντιόχεια πρὸς τῷ Σάρῳ	...	...	...	Æ		
Αὐγοῦστα	...	...	...	...	...	Æ
Γερμανικόπολις	...	...	...	...	...	Æ
Διοκαισάρεια	...	...	...	...	...	Æ
Εἰρηνόπολις	...	...	...	...	...	Æ
Ἐπιφάνεια	...	...	...	. .	...	Æ
Ζεφύριον	...	...	...	...	...	Æ
Ἱεράπολις - Καστάβαλα	...	...	...	Æ	...	Æ
Ἴσαυρα	...	...	...	...	...	Æ

	600-450 π. Χ.	450-380 π. Χ.	380-333 π. Χ.	333-67 π. Χ	67 π. Χ.- Ῥωμαϊκ. χρόνων	Αὐτοκρ. χρόνοι.
Ἰσσὸς (Σατράπαι)	...	AR	AR	...		
Ἰωτάπη	...	...	...	...	...	Æ
Καράλλια	...	...	...	...	...	Æ
Κάσα	...	...	...	...	...	Æ
Κελένδερις	AR	AR	AR	Æ	...	Æ
Κλαυδιόπολις [;;]	...	...	...	...	..	Æ
Κολυβρασσὸς	...	...	...	...	...	Æ
Κορακήσιον	...	. .	...	...	...	Æ
Κοροπισσὸς	...	...	...	...	...	Æ
Κώρυκος	...	...	...	...	...	Æ
Λαέρτη	...	...	...	...	...	Æ
Λακανατὶς	...	...	...	...	...	Æ
Λαλασσὶς	...	...	...	...	...	Æ
Λάμος	...	...	..	...	...	Æ
Λύρβη	...	...	...	...	...	Æ
Μαλλὸς (καὶ σατράπαι)	AR	AR	AR Æ	AR	Æ	Æ
Μόψος ἢ Σελεύκεια πρὸς τῷ Πυράμῳ	...	...	...	Æ	...	AR Æ
Νάγιδος	...	AR	AR Æ	...	...	
Ὄλβη	...	...	...	...	Æ	Æ
Ὄλμοι	...	...	AR			
Σεβαστὴ	...	...	...	...	...	Æ
Σελεύκεια πρὸς τῷ Καλυκάδνῳ	...	...	...	...	Æ	AR Æ
Σελινοῦς	...	...	...	...	...	Æ
Σόλοι (καὶ σατράπαι) ἢ Πομπηϊόπολις	...	AR	AR	Æ	Æ	Æ
Σύεδρα	...	...	...	...	...	Æ
Ταρσὸς (καὶ σατράπαι)	EL(;) AR	AR	AR	AR Æ	Æ	AR Æ
Τιτιόπολις	. .	...	...	...	...	Æ
Φιλαδέλφεια	...	..	...	...	...	Æ
Φλαβιόπολις	...	...	...	...	...	Æ
Ἐλαιοῦσα νῆσος	...	...	...	...	...	Æ
Βασιλεῖς	...	...	...	,..	Æ	

ΚΥΠΡΟΣ

Ἐν τοῖς χρόνοις τῶν Ἀσσυρίων βασιλέων ὑπῆρχον ἐν τῇ νήσῳ Κύπρῳ δέκα μικρὰ κράτη, ὧν οἱ δυνάσται μνημονεύονται ἐν διαφόροις ἐπιγραφαῖς. Τρεῖς δ' αἰῶνας κατόπιν ὁ Διόδωρος (XVI. 42) ἀπαριθμεῖ ἐννέα βασίλεια ἐν τῇ νήσῳ, «*Ἐν γὰρ τῇ νήσῳ ταύτῃ πόλεις ἦσαν ἀξιόλογοι μὲν ἐννέα, ὑπὸ δὲ ταύτας ὑπῆρχε τεταγμένα μικρὰ πολίσματα τὰ προσκυροῦντα ταῖς ἐννέα πόλεσιν. Ἑκάστη δὲ τούτων εἶχε βασιλέα, τῆς μὲν πόλεως ἄρχοντα, τῷ δὲ βασιλεῖ τῶν Περσῶν ὑποτεταγμένον.*» Αἱ ἐννέαι αὗται πόλεις ἦσαν αἱ ἑξῆς—(1) Σαλαμίς, (2) Κίτιον μετὰ τοῦ Ἰδαλίου καὶ τῆς Ταμάσου, (3) Μάριον, (4) Ἀμαθοῦς, (5) Κούριον, (6) Πάφος, (7) Σόλοι, (8) Λάπαθος, καὶ (9) Κερύνεια. (Ἴδε I. P. Six, *Rev. Num.*, 1883, σ. 254.)

Μεθ' ὅλας τὰς ἀξιολόγους ἐρεύνας τοῦ κ. R. H. Lang (*Num. Chron.*, 1871), Six (ἐνθ. ἀ.) καὶ Δρ. W. Deecke (H. Collitz, *Sammlung de gr. Dialekt-Inschr. I. Die griechischkyprischen Inschriften in epichorischer Schrift,* 1883) παραμένει λίαν ἀβεβαία ἡ κατάταξις μεγάλου ἀριθμοῦ Κυπριακῶν νομισμάτων. Τοῦτο δὲ ἀποδοτέον κατὰ μέγα μέρος εἰς τὴν ἄκραν δυσκολίαν τῆς διακρίσεως ἀπ' ἀλλήλων πολλῶν χαρακτήρων τῶν Κυπριακῶν συλλαβικῶν γραμμάτων ἐπὶ τῶν νομισμάτων, συνήθως κακῶς διατηρουμένων ἢ ἀμελῶς κεκομμένων, ἐν μέρει δὲ καὶ εἰς τὸ ἀτελὲς τῶν γνώσεων ἡμῶν περὶ τῆς ἱστορίας τῆς νήσου κατὰ τὸν πέμπτον καὶ τέταρτον αἰῶνα π. Χ. εἰς ἣν περίοδον ἀνήκουσιν τὰ νομίσματα. Ἐν τούτοις ὅμως, ἂν λάβωμεν πρὸ ὀφθαλμῶν ὅτι μόλις πρὸ ὀλίγων ἐτῶν ὁ ἀποθανὼν ἤδη Γεώργιος Smith, ὑπάλληλος τοῦ Βρετανικοῦ Μουσείου, ἀνεκάλυψε τὴν κλεῖδα πρὸς ἐξήγησιν τῆς μυστηριώδους Κυπριακῆς γραφῆς, ἥτις ἐπὶ πλέον τῶν εἴκοσι ἐτῶν κατέστησεν ἀνωφελῆ τὴν εὐφυΐαν τῶν σοφῶν, εὐλόγως δυνάμεθα νὰ συγχαρῶμεν ἑαυτοὺς ἐπὶ τῇ μέχρι τοῦδε γενομένῃ προόδῳ.

Πλήρη πίνακα τῶν Κυπριακῶν χαρακτήρων καὶ τῆς σημασίας αὐτῶν ἴδε παρὰ Deeke (*ἔνθ. ἀν.*).

Ἡ αὐτόνομος νομισματοκοπία τῆς Κύπρου ἄρχεται ἀπὸ τῶν τελευταίων δεκάδων τοῦ ἕκτου αἰῶνος καὶ διαρκεῖ μέχρι τῆς ὑποταγῆς τῆς νήσου εἰς Πτολεμαῖον τὸν Σωτῆρα ἐν ἔτει 312 π. Χ. Δύναται δὲ νὰ διαιρεθῶσι τὰ νομίσματα εἰς τὰς ἑξῆς κυρίας κλάσεις —(α) Νομίσματα τῶν βασιλέων τῆς Σαλαμῖνος, Ἰδαλίου, Κουρίου, Πάφου, Μαρίου, Σόλων, ἴσως δὲ καὶ ἄλλων πόλεων, φέροντα ἐπιγραφὰς *Κυπριακῶν*, βραδύτερον δὲ *Ἑλληνικῶν* χαρακτήρων· (β) νομίσματα τῶν Φοινίκων βασιλέων τοῦ Κιτίου, ἴσως δὲ καὶ τῆς Λαπάθου, φέροντα *Φοινικικὰς* ἐπιγραφάς. Ὁ σταθμητικὸς κανὼν πάντων τῶν ἀργυρῶν νομισμάτων εἶνε ἐν ἀρχῇ ὁ Αἰγινητικὸς ἠλαττωμένος πως. Ὁ στατὴρ, ἕλκων περὶ τοὺς 180 κ. κατὰ μείζονα ὅρον, ὑποδιαιρεῖται οὐχὶ εἰς ἡμίση καὶ τέταρτα ὡς ἐν τῇ Εὐρωπαϊκῇ Ἑλλάδι, ἀλλ' εἰς τρίτας, ἕκτας, δωδεκάτας, εἰκοστὰς τετάρτας, καὶ τεσσαρακοστὰς ὀγδόας, τῶν κλασμάτων ἑλκόντων καθ' ἕκαστον 60, 30, 15, 7·5, καὶ 3·7 κ. Κατὰ τὸ πρῶτον ἥμισυ τοῦ τετάρτου αἰῶνος τὸ σύστημα τοῦτο ἐτροποποιήθη (ἐξαιρουμένης τῆς Πάφου, ἔνθα διετηρήθη μέχρι τέλους) καὶ προσηρμόσθη τῷ Ῥοδίῳ κανόνι, ὅστις μετὰ τὸ 400 π. Χ. ἤρξατο ἐπικρατῶν ἐν τῇ νοτιοδυτικῇ Ἀσίᾳ. Τὰ μεταγενέστερα Κυπριακὰ νομίσματα συνίστανται ἐκ κομματίων 114 κ. μετὰ τῶν τριτῶν, ἑκτῶν, καὶ δωδεκάτων, ἑλκουσῶν ἑκάστη χωρίς, 38, 28, 19 καὶ 9·5 κ. Ἐν τῇ περιόδῳ ταύτῃ ἀπαντῶσι συνήθως ἐν τῇ νήσῳ καὶ χρυσοῖ στατῆρες μετὰ τῶν ὑποδιαιρέσεων αὐτῶν.

Ὡς πρὸς τὴν κατασκευὴν τὰ ἀρχαιότατα νομίσματα (τὰ ἀποδιδόμενα Εὐέλθωνι τῷ Σαλαμινίῳ) ἔχουσι τὴν ὀπισθίαν ὄψιν ἁπλῶς λείαν, ἥτις περὶ τοὺς χρόνους τῶν Περσικῶν πολέμων ἀντικαθίσταται ὑπὸ σαφῶς κεχαραγμένου ἐγκοίλου τετραγώνου περιέχοντος τύπον. Μετὰ δὲ τὸ 400 π. Χ. περίπου, τὸ ἔγκοιλον τετράγωνον ἐξαφανίζεται βαθμιαίως ἐξαιρέσει τῶν Φοινι-

κικῶν νομισμάτων τοῦ Κιτίου, ἐφ' ὧν παραμένει μέχρι τῆς ἐποχῆς τοῦ Ἀλεξάνδρου.

Τὰ ἑξῆς εἶνε αἱ κυριώταται ποικιλίαι τοῦ Κυπριακοῦ νομίσματος· ὡς πρὸς τὰς περιγραφὰς τῶν μικροτέρων κλασμάτων παραπέμπεται ὁ ἀναγνώστης εἰς τὴν ἤδη μνημονευθεῖσαν πραγματείαν τοῦ κ. Six.

Κίτιον.

Βααλμελέκ, περὶ τὰ 450-420 π. Χ.

Ἡρακλῆς προβαίνων, κραδαίνων ῥόπαλον καὶ κρατῶν τόξον. (B. M. *Guide*, Πίν. XI, 42.)	לבצל מלר Λέων καθήμενος, ἐν τετραγώνῳ ἐγκοίλῳ. ℞ Στατ. καὶ ὑποδ.
Ὁμοίως, ἡ κεφαλὴ Ἡρακλέους ἐπὶ τῶν μικροτέρων ὑποδιαιρέσεων.	» Λέων συλλαμβάνων ἔλαφον, ἐν τετραγώνῳ ἐγκοίλῳ. ℞ Στατὴρ καὶ ὑποδιαιρέσεις.

Ἀζβαάλ, περὶ τὰ 420-400 π. Χ.

